779

# ΓΡΑΜΜΑΤΙΚΗ ΤΕΡΨΙΧΟΡΑ

ΥΠΟ

ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ

ὅσον οἷόν τε συντομώτερον χάριν τῶν Εὐγενῶν.

---

*Πρῶτον δεῖ σε τοῖς ὀνόμασι παρακολουθεῖν. Ἀρχὴ γὰρ παιδεύσεως ἡ τῶν ὀνομάτων ἐπίσκεψις.*

Ἐπίκτ.

*Ὃς γὰρ ἂν τὰ ὀνόματα εἰδῇ, εἴσεται τὰ πράγματα.*

Πλάτ.

---

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΜΜΑΝ. [illegible]ΔΟΥ.
ΕΚ ΔΩΡΕΑΣ
ΑΝΔΡ. Μ. ΑΝΡΔΕΑΔΟΥ

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΚΑΔΗΜΙΑΣ
ΑΘΗΝΩΝ

---

ΕΝ ΒΙΕΝΝΗ ΤΗΣ ΑΟΥΣΤΡΙΑΣ
ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΓΕΩΡΓΙΟΥ ΒΕΝΔΩΤΗ.

1809.

## Τοῖς Ἐντευξομένοις χαίρειν.

Δίκαια μὲν καὶ συμφέροντα καὶ τὰς ἄλλας γενικωτέρας ἐννοίας κοινῇ πάντες ἄνθρωποι συμφώνως προφέρουσιν. ἐπειδὰν δ' ἀνάγκη τις σφίσιν ἐγγένηται ἐφαρμόσαι ταῦτα ταῖς κατὰ μέρος οὐσίαις, καὶ πάντῃ δυσκαταμαθήτως τυγχάνουσιν ἔχοντες. αὐτίκα γὰρ οἱ Ἄριστοι τῶν Ἀχαιῶν τότε δίκαιον καὶ συμφέρον· τὸ μὲν, τῷ στρατῷ· τὸ δὲ, τῷ ἱερεῖ τοῦ Θεοῦ ἐφαρμόσαι ἀμηχανοῦντες, ἰσχυρῶς ἤριζον πρὸς ἀλλήλους· καὶ διερεθισθέντες, τὰ κάκιστα ἐμερμύριζον· ὁ μὲν γὰρ Ἀγαμέμνων μὴ προσήκειν ἑαυτῷ τὴν τῆς κόρης ἀφαίρεσιν ὅλως ἰσχυριζόμενος, (οὐδὲ γὰρ ἀνέξεσθαι μένειν ἀγέρασος) ἐπαπειλεῖ τῷ Ἀχιλλεῖ ἀφαιρήσεσθαι ἀντὶ τῆς Χρυσηΐδος τὴν Βρυσηΐδα. ὁ δὲ, δεινὸν τοῦτο ποιούμενος, εἴτις καὶ λόγῳ μόνῳ βιάσασθαι τὰ τοιαῦτα τολμήσειε,

χολοῦται ὅλως, καὶ τὸ ξίφος ἐφέλκεται. Ἐντεῦ-
... ἄρα ἔρις κρατερὰ, καὶ κακῶν Ἰλιὰς, καὶ τῶν
...ὄντων ἑκατέρῳ ἔκπτωσις παντελής. ὁ μὲν
ὀλιγωρήσας τῶν Βασιλικῷ προσανηκόντων ἀν-
.., περὶ κορασιδίου διαφιλονεικεῖ, καὶ διαπυκτεύει
περὶ αὐτῆς τῷ τῶν Ἑλλήνων κρατίσῳ· ὁ δὲ, ἐν οὐ-
δενὸς μοίρᾳ θέμενος τὸ ἐνδόξως πρὸς Ἕκτωρα ἀγω-
νίσασθαι, ἀλλ' ἐπὶ τὸν ἑαυτοῦ βασιλέα τὸ ξίφος
σπασάμενος, κλαυθμυρίζει τελευτῶν, ὡς τὰ βρέ-
φη, καὶ τὴν μητέρα ἐπικαλεῖται. οὕτως ἄνθρωποι
σφάλλονται ἀγνοίᾳ τῆς καταλλήλου τῶν γενικῶν ἐν-
νοιῶν ἐφαρμογῆς τοῖς καθ' ἕκαςα.

Οὐκ ἀξύμφωνα δὲ τούτοις καὶ οἱ νῦν τῶν Ἑλ-
λήνων πεπαιδευμένοι περὶ τῶν κοινῇ ξυμφερόντων τοῖς
νέοις πως διαφέρονται πρὸς ἀλλήλους, μὴ δυνάμενοι
ὁμοφώνως ἑνί τῳ συναρμόσαι αὐτῶν τὴν βελτίωσιν,
ἄλλος ἄλλῳ ὁρίζοντες τὸ εὐχερὲς πρὸς τὴν πρόοδον
καὶ τὸ ῥάδιον· ὁ μὲν, τῷ πολλῷ καὶ ἐκτεταμένῳ·
ὁ δ' αὖ, τῷ βραχεῖ καὶ συντετμημένῳ. εἰσὶ δ' οἱ
καὶ ἐπὶ πλέον τῷ νῷ διήκοντες, καὶ ἐς τὸ μυχώτα-
τον τῆς ὕλης ἐπὶ τὴν θήραν εἰσδύντες, πυρὸς ἀνά-

λωμα δεῖν γενέσθαι τὰ μέχρι τοῦδε κρατήσαντα ἔκριναν, καὶ ξέν᾽ ἄττ᾽ ἀντεισαγαγεῖν τοῖς νέοις ἠξίωσαν, οἱ μὲν, ὡς ἀπὸ μεταφυσικωτέρας ἀρχῆς ὁρμώμενοι· οἱ δὲ, καὶ ἀπὸ χθαμαλωτέρας συγκαταβάντες αἰτίας, οὕτως ὡς ἂν ἑκάστῳ δοκέοι, τὸ ὠφέλιμον ἕκαστοι προσορίζοντες.

Ἔμοιγε δ᾽ οὖν τοὐπίτομον ἐσπούδασται μάλιστα, καὶ τούτῳ μόνῳ, ὅσον εἰς γραμματικὴν τέχνην ἥκει, ἐφήρμοσταί μοι τὸ τοῖς νέοις συμφέρον. καὶ μάλισθ᾽ οἷς γε καὶ ὁ χρόνος βραχὺς περὶ ταῦτα, καὶ ὁ πόνος ἀηδὴς ἅπαντᾳ· οἷοι ἂν εἶεν τῶν Εὐπατριδῶν, οἷς μάλιστα προὐργιαίτερον γίνεται τὴν πολιτικὴν ὡς ἐπὶ τὸ πολὺ παιδευθῆναι παιδείαν. καὶ τῶν ἄλλων, ὅσοις μὴ ἐπιτρέποι ὁ βίος διὰ πολλοῦ τοῖς ἐγκυκλίοις ἐνασχολεῖσθαι μαθήμασιν, ἀλλ᾽ ὅσον εἰς ἐμπορίαν καὶ τέχνην, καὶ εἴτι τοιοῦτον ἐξ ἐπαγγέλματος ἔργον καπηλικὸν, προκαταρτισθεῖσιν, ἐς ἐκεῖν᾽ ἀφορᾷν. Ταῦτ᾽ οὖν ἔμοιγε κράτιστα ἔδοξεν. εἰ μέντοι εὐστόχως ὁ κύβος μοι ἔρριπται, καὶ καλῶς μοι τὰ τῆς ἐννοίας ἐφήρμοσται, ἔγωγε μὲν οὐκ ἂν εἴποιμι. δικάσει δὲ περὶ τούτων

ὁ Χρόνος μετὰ τῆς Πείρας ὁ τῶν ἁπάντων ἐφαρμοςῆς ἐξοχώτατος. ἐκεῖνο δ᾽ ἐν τῷ παρόντι αὐτὸς παρ᾽ ὑμῶν ἀξιῶ, καὶ Φοῖβον ἐπικαλοῦμαι τὸν Ἀποτρόπαιον, μήτ᾽ ἔριδι τῶν Ἡρώων τινὶ ἐμπεσεῖν, μήτ᾽ ἀξίαν πυρὸς οὕτως ἐν προοιμίοις κατακριθῆναι τὴν ἐμὴν Τερψοχόραν. φύσεως γὰρ ἀδυναμίᾳ καὶ χρωτὸς ἁπαλότητι ἀποδειλιᾷ πρὸς ἑκάτερα.

Ἔῤῥωσθε.

# ΤΗΣ ΚΑΤ' ἘΠΙΤΟΜΗΝ ΓΡΑΜΜΑΤΙΚΗΣ.

## ΒΙΒΛΙ'ΟΝ Α'.

### Κλίσις καὶ Ε'κθεσις τῶν Ο'κτὼ μερῶν τοῦ λόγου.

Τὰ μέρη τοῦ λόγου εἰσὶν Ο'κτώ· ὧν Κλιτὰ μὲν πέντε, Α'ρθρον, Ο'νομα, Α'ντωνυμία, Ρ'ῆμα, καὶ Μετοχή. Α'κλιτα δὲ τρία, Πρόθεσις, Ε'πίῤῥημα, Σύνδεσμος.

### Περὶ Α'ρθρȣ.

Παρέπεται δὲ τῷ Α'ρθρῳ, γένος, ἀριθμὸς πτῶσις.

### Κλίσις τοῦ μὲν Α'ρσενικȣ̃.

Ε'νικῶς ἡ Ο'νομαςικὴ, Ο'. ἡ Γενικὴ, Τοῦ. ἡ Δοτικὴ, Τῷ. ἡ Αἰτιατικὴ, Τόν. Πληθυντικῶς ἡ Ο'νομαςικὴ, Οἱ· ἡ Γενικὴ, Τῶν. ἡ Δοτικὴ, Τοῖς. ἡ Αἰτιατικὴ, Τούς.

### Τοῦ δὲ Θηλυκοῦ.

Ε'νικῶς ἡ Ο'νομ. Η'· ἡ Γεν. Τῆς· ἡ Δοτ. Τῇ· ἡ

Αἰτιατ. Τήν· Πληθυντικῶς ἡ Ὀνομ. Αἱ· ἡ γεν. Τῶν· ἡ δοτ. Ταῖς· ἡ αἰτ. Τάς.

### Τοῦ δὲ Οὐδετέρου.

Ἑν. ἡ ὀνομ. Τό· ἡ γεν. Τοῦ· ἡ δοτ. Τῷ· ἡ αἰτ. Τό· Πληθ. ἡ ὀνομ. Τά· ἡ γεν. Τῶν· ἡ δοτ. Τοῖς· ἡ αἰτ. Τά.

### Περὶ Ὀνόματος.

Παρέπεται δὲ καὶ τῷ Ὀνόματι γένη μὲν τρία. Ἀρσενικόν, ὁ ἀγαθός. Θηλυκὸν, ἡ ἀγαθή. Οὐδέτερον, τὸ ἀγαθόν.

Εἴδη δὲ δύο· πρωτότυπον μὲν, σοφός. παράγωγον δὲ, σοφώτερος.

Σχήματα δὲ, αὖθις δύο. ἁπλοῦν μὲν, ἵππος. σύνθετον δὲ, φίλιππος.

Ἀριθμοὶ δὲ, πάλιν δύο. ἑνικὸς μὲν, ὁ λόγος. πληθυντικὸς δὲ, οἱ λόγοι.

Πτῶσις δὲ, πέντε· Ὀνομαςικὴ, Γενικὴ, Δοτικὴ, Αἰτιατικὴ, καὶ Κλητική.

### Περὶ Κλίσεων.

Κλίσεις δὲ τῶν ὀνομάτων εἰσὶ δέκα. ὧν Ἰσοσύλλαβοι μὲν, τέσσαρες. Περιττοσύλλαβος δὲ ἡ πέμπτη. καὶ πέντε Συνῃρημέναι.

### Κλίσις Πρώτη τῶν ἰσοσυλλάβων τῶν εἰς ας καὶ εἰς ης ληγόντων.

Ἑνικῶς ἡ ὀνομαςικὴ, ὁ Αἰνείας. ἡ γενικὴ, τοῦ Αἰνείου. ἡ δοτικὴ, τῷ Αἰνείᾳ. ἡ Αἰτιατικὴ, τὸν Αἰνείαν. ἡ κλητικὴ, ὦ Αἰνεία καὶ ὦ Αἰνείας. Πλη-

θυντικῶς ἡ ὀνομαςικὴ, οἱ Αἰνεῖαι. ἡ γενικὴ, τῶν Αἰνειῶν. ἡ δοτικὴ, τοῖς Αἰνείαις. ἡ Αἰτιατικὴ, τοὺς Αἰνείας. ἡ κλητικὴ, ὦ Αἰνεῖαι.

Ὁ Χρύσης, τοῦ Χρύσου, τῷ Χρύσῃ, τὸν Χρύσην, ὦ Χρύση, καὶ ὁ Χρύσης. Πληθ. οἱ Χρῦσαι, τῶν Χρυσῶν, τοῖς Χρύσαις, τοὺς Χρύσας, ὦ Χρῦσαι.

Ὁ λῃςὴς, τοῦ λῃςοῦ, τῷ λῃςῇ, τὸν λῃςὴν, ὦ λῃςά.

Ὁ Θωμᾶς, τοῦ Θωμᾶ, τῷ Θωμᾷ, τὸν Θωμᾶν.

## Κλίσις δευτέρα τῶν εἰς α καὶ εἰς η ληγόντων.

Ἡ Μοῦσα, τῆς Μούσης, τῇ Μούσῃ, τὴν Μοῦσαν, ὦ Μοῦσα. Αἱ Μοῦσαι, τῶν Μουσῶν, ταῖς Μούσαις, τὰς Μούσας, ὦ Μοῦσαι.

Ἡ Τιμὴ, τῆς τιμῆς, τῇ τιμῇ, τὴν τιμὴν, ὦ τιμή. Αἱ τιμαὶ, τῶν τιμῶν, ταῖς τιμαῖς, τὰς τιμὰς, ὦ τιμαί.

Ἡ Ἡμέρα, τῆς ἡμέρας, τῇ ἡμέρᾳ, τὴν ἡμέραν.

## Κλίσις τρίτη τῶν εἰς ος καὶ εἰς ον.

Ὁ Ἄνθρωπος, τοῦ ἀνθρώπου, τῷ ἀνθρώπῳ, τὸν ἄνθρωπον, ὦ ἄνθρωπε, καὶ ὦ ἄνθρωπος. Οἱ Ἄνθρωποι, τῶν ἀνθρώπων, τοῖς ἀνθρώποις, τοὺς ἀνθρώπους, ὦ ἄνθρωποι.

Ἡ Ὁδὸς, τῆς ὁδοῦ, τῇ ὁδῷ, τὴν ὁδὸν, ὦ ὁδὲ, καὶ ὦ ὁδός. Αἱ ὁδοὶ, τῶν ὁδῶν, ταῖς ὁδοῖς, τὰς ὁδοὺς, ὦ ὁδοί.

Τὸ Μυςήριον, τοῦ μυςηρίου, τῷ μυςηρίῳ, τὸ μυςήριον, ὦ μυςήριον. Τὰ μυςήρια, τῶν μυςηρίων, τοῖς μυςηρίοις, τὰ μυςήρια.

## Κλίσις τῆς τετάρτης τῶν εἰς ως καὶ εἰς ων ἀττικῶν.

Ο῾ Μενέλεως, τοῦ Μενέλεω, τῷ Μενέλεῳ, τὸν Μενέλεων, ὦ Μενέλεως. Οἱ Μενέλεῳ, τῶν Μενέλεων, τοῖς Μενέλεως, τοὺς Μενέλεως, ὦ Μενέλεω.

Ο῾ Εὔγεως, τοῦ εὔγεω, τῷ εὔγεῳ, τὸν εὔγεων.

Η῾ Α῞λως, τῆς ἅλω, τῇ ἅλῳ, τὴν ἅλων, ὦ ἅλως. Αἱ ἅλῳ, τῶν ἅλων, ταῖς ἅλῳς, τὰς ἅλως, ὦ ἅλω.

Τὸ Εὔγεων, τοῦ εὔγεω, τῷ εὔγεῳ, τὸ εὔγεων, ὦ εὔγεων. Τὰ εὔγεω, τῶν εὔγεων, τοῖς εὔγεῳς, τὰ εὔγεω, ὦ εὔγεω.

## Κλίσις τῆς Πέμπτης τῶν διαφόρους καταλήξεις ἐχόντων.

Ο῾ Αἴας, τοῦ Αἴαντος, τῷ Αἴαντι, τὸν Αἴαντα, ὦ Αἴαν, καὶ ὦ Αἴας. Οἱ Αἴαντες, τῶν Αἰάντων, τοῖς Αἴασι, τοὺς Αἴαντας, ὦ Αἴαντες.

Η῾ Τρυγὼν, τῆς τρυγόνος, τῇ τρυγόνι, τὴν τρυγόνα, ὦ τρυγών. Αἱ τρυγόνες, τῶν τρυγόνων, ταῖς τρυγόσι, τὰς τρυγόνας, ὦ τρυγόνες.

Τὸ βῆμα, τοῦ βήματος, τῷ βήματι, τὸ βῆμα, ὦ βῆμα. Τὰ βήματα, τῶν βημάτων, τοῖς βήμασι, τὰ βήματα, ὦ βήματα.

## Ε῞τεροι διάφοροί πως τύποι τῆς Πέμπτης.

| | |
|---|---|
| Ο῾ Παιὰν, | τοῦ παιᾶνος. |
| Ο῾ Πᾶν, | τοῦ Πανός. |
| Ο῾ Α῞ρπαξ, | τοῦ ἅρπαγος. |
| Ο῾ Κόραξ, | τοῦ κόρακος. |
| Ο῾ Βήξ, | τοῦ βηχός. |

| | |
|---|---|
| Ὁ Μάκαρ, | τοῦ Μάκαρος. |
| Ὁ Θὴρ, | τοῦ θηρός. |
| Ὁ Μέλας, | τοῦ μέλανος. |
| Ὁ Παῖς. | τοῦ Παιδός. |
| Ὁ Κλήμης, | τοῦ Κλήμεντος. |
| Ὁ Χαρίεις, | τοῦ χαρίεντος. |
| Ὁ Ἄραψ, | τοῦ ἄραϐος. |
| Ὁ Γύψ, | τοῦ γυπός. |
| Ὁ Κύκλυψ, | τοῦ κύκλωπος. |
| Ἡ Σειρὴν, | τῆς σειρῆνος. |
| Ἡ Φρὴν, | τῆς φρενός. |
| Ἡ Αὖλαξ, | τῆς αὔλακος. |
| Ἡ Αἶξ, | τῆς αἰγός. |
| Ἡ Μάςιξ, | τῆς μάςιγος. |
| Ἡ Θρὶξ, | τῆς τριχός. |
| Ἡ Χεὶρ, | τῆς χειρός. |
| Ἡ Λαμπὰς, | τῆς λαμπάδος. |
| Ἡ Παῖς, | τῆς παιδός. |
| Ἡ Φιλότης, | τῆς φιλότητος. |
| Ἡ Ταχυτὴς, | τῆς ταχυτῆτος. |
| Ἡ Κλεὶς, | τῆς κλειδός. |
| Ἡ Κτὶς, | τῆς κτενός. |
| Ἡ Χλαμὺς, | τῆς χλαμύδος. |
| Ἡ Ἅλς, | τῆς Ἁλός. |
| Ἡ Φλέψ, | τῆς φλεϐός. |
| Ἡ Ὄψ, | τῆς ὀπός. |
| Τὸ Γάλα, | τοῦ γάλακτος. |
| Τὸ Μέλι, | τοῦ μέλιτος. |
| Τὸ Μέλαν, | τοῦ μέλανος. |
| Τὸ Δίπουν, | τοῦ δίποδος. |

| | |
|---|---|
| Τὸ Φρέαρ, | τοῦ φρέατος. |
| Τὸ Πῦρ, | τοῦ Πυρός. |
| Τὸ Ὕδωρ, | τοῦ ὕδατος. |
| Τὸ Δίκτυ, | τοῦ δίκτυος. |
| Τὸ Γόνυ, | τοῦ γόνυος καὶ γόνατος. |
| Τὸ Δόρυ, | τοῦ δόρατος, καὶ δόρυος, καὶ δουρός. |

## Κλίσις πρώτη τῶν Συνῃρημένων τῶν εἰς ης, καὶ εἰς ες, καὶ εἰς ος ληγόντων.

Ὁ Δημοσθένης, τοῦ Δημοσθένους, τῷ Δημοσθένει, τὸν Δημοσθένη, ὦ Δημόσθενες, καὶ ὦ Δημοσθένης.

Ὁ Ἀληθὴς, τοῦ ἀληθοῦς, τῷ ἀληθεῖ, τὸν ἀληθῆ, ὦ ἀληθὲς, καὶ ὦ ἀληθής. Οἱ ἀληθεῖς, τῶν ἀληθῶν, τοῖς ἀληθέσι, τοὺς ἀληθεῖς, ὦ ἀληθεῖς.

Ἡ Τριήρης, τῆς τριήρεος τριήρους, τῇ τριήρει, τὴν τριήρη, ὦ τριήρη, καὶ τριήρης. Αἱ τριήρεις, τῶν τριήρεων τριήρων, ταῖς τριήρεσι, τὰς τριήρεις, ὦ τριήρεις.

Τὸ ἀληθὲς, τοῦ ἀληθοῦς, τῷ ἀληθεῖ, τὸ ἀληθὲς, ὦ ἀληθές. Τὰ Ἀληθῆ, τῶν ἀληθῶν, τοῖς ἀληθέσι, τὰ ἀληθῆ, ὦ ἀληθῆ.

Τὸ Τεῖχος, τοῦ τειχους, τῷ τείχει, τὸ τεῖχος, ὦ τεῖχος. Τὰ τείχη, τῶν τειχῶν, τοῖς τείχεσι, τὰ τείχη, ὦ τείχη.

## Κλίσις τῆς δευτέρας τῶν εἰς ις, καὶ εἰς ι ληγόντων.

Ὁ Ὄφις, τοῦ ὄφεως, τῷ ὄφει, τὸν ὄφιν, ὦ ὄφι, καὶ ὦ ὄφις. Οἱ ὄφεις, τῶν ὄφεων, τοῖς ὄφεσι, τοὺς ὄφεις, ὦ ὄφεις.

Ἡ Πόλις, τῆς πόλεως, τῇ πόλει, τὴν πόλιν, ὦ πόλι, καὶ ὦ πόλις. Αἱ πόλεις, τῶν πόλεων, ταῖς πόλεσι, τὰς πόλεις, ὦ πόλεις.

Τὸ Σίνηπι, τοῦ σινήπεως, τῷ σινήπει, τὸ σίνηπι, ὦ σίνηπι. Τὰ σινήπη, τῶν σινήπεων, τοῖς σινήπεσι, τὰ σινήπη, ὦ σινήπη.

### Κλίσις τῆς τρίτης τῶν εἰς ευς ληγόντων.

Ὁ Βασιλεὺς, τοῦ βασιλέως, τῷ βασιλεῖ, τὸν βασιλέα, ὦ βασιλεῦ καὶ ὦ βασιλεύς. Οἱ βασιλεῖς, τῶν βασιλέων, τοῖς βασιλεῦσι, τοὺς βασιλεῖς, ὦ βασιλεῖς.

### Κλίσις τῆς τετάρτης τῶν εἰς ω, καὶ εἰς ως ληγόντων.

Ἡ Λητὼ, τῆς λητοῦς, τῇ λητῷ, τὴν λητὼ, ὦ λητοῖ. Αἱ λητοὶ, τῶν λητῶν, ταῖς λητοῖς, τὰς λητοὺς, ὦ λητοί.

Ἡ Αἰδὼς, τῆς αἰδοῦς, τῇ αἰδοῖ, τὴν αἰδῶ, ὦ αἰδοῖ. Αἱ αἰδοὶ, τῶν αἰδῶν, ταῖς αἰδοῖς, τὰς αἰδοὺς, ὦ αἰδοί.

### Κλίσις τῆς Πέμπτης τῶν εἰς ας ληγόντων.

Τὸ Κρέας, τοῦ κρέατος καὶ κρέως, τῷ κρέατι καὶ κρέᾳ, τὸ κρέας, ὦ κρέας. Τὰ κρέατα καὶ κρέᾳ, τῶν κρεάτων καὶ κρεῶν, τοῖς κρέασι, τὰ κρέατα καὶ κρέα, ὦ κρέατα καὶ ὦ κρέα.

### Ἕτερα ὀνόματα διαφόρως κλινόμενα.

Ὁ Νοῦς, τοῦ νοῦ καὶ νοὸς, τῷ νῷ καὶ νοΐ, τὸν νοῦν καὶ νόα.

Ὁ Χρυσοῦς, τοῦ χρυσοῦ, τῷ χρυσῷ, τὸν χρυσοῦν.

Ὁ Πλοῦς, τοῦ πλοῦ καὶ πλοὸς, τῷ πλῷ καὶ πλοΐ, τὸν πλοῦν.

Ὁ Ἡδὺς, τοῦ ἡδέος, τῷ ἡδεῖ, τὸν ἡδὺν, ὦ ἡδὺ καὶ ὦ ἡδύς. Οἱ ἡδεῖς, τῶν ἡδέων, τοῖς ἡδέσι, τοὺς ἡδεῖς, ὦ ἡδεῖς.

Τὸ Ἡδὺ, τοῦ ἡδέος, τῷ ἡδεῖ, τὸ ἡδύ. Τὰ ἡδέα, τῶν ἡδέων, τοῖς ἡδέσι, τὰ ἡδέα.

Ὁ Βότρυς, τοῦ βότρυος, τῷ βότρει, τὸν βότρυν. Οἱ βότρυες βότρυς, τῶν βοτρύων, τοῖς βότρυσι, τοὺς βότρυας βότρυς.

Ὁ Ἰχθῦς, τοῦ ἰχθύος, τῷ ἰχθύϊ, τὸν ἰχθῦν. Οἱ ἰχθύες ἰχθῦς, τῶν ἰχθύων, τοῖς ἰχθύσι, τοὺς ἰχθύας ἰχθῦς.

Ὁ βοῦς, τοῦ βοὸς, τῷ βοΐ, τὸν βοῦν, ὦ βοῦ. Οἱ βύες βοῦς, τῶν βοῶν, τοῖς βουσὶ, τοὺς βόας, ὦ βόες βοῦς.

Ὁ Μείζων, τοῦ μείζονος, τῷ μείζονι, τὸν μείζονα καὶ μείζω, ὦ μεῖζον. Οἱ μείζονες καὶ μείζους, τῶν μειζόνων, τοῖς μείζοσι, τοὺς μείζονας καὶ μείζους, ὦ μείζονες καὶ μείζους.

Τὸ μεῖζον, τοῦ μείζονος, τῷ μείζονι, τὸ μεῖζον, ὦ μεῖζον. Τὰ μείζονα καὶ μείζω, τῶν μειζόνων, τοῖς μείζοσι, τὰ μείζονα καὶ μείζω, ὦ μείζονα καὶ μείζω.

Ἡ ναῦς, τῆς νεὼς, τῇ νηΐ, τὴν ναῦν. Αἱ νῆες, τῶν νεῶν, ταῖς ναυσὶ, τὰς νῆας.

## Ἑτερόκλιτα συγκοπῇ.

Ὁ Ἀνὴρ, τοῦ ἀνδρὸς, τῷ ἀνδρὶ, τὸν ἄνδρα, ὦ

ἄνερ. Οἱ ἄνδρες, τῶν ἀνδρῶν, τοῖς ἀνδράσι, τοὺς ἄνδρας, ὦ ἄνδρες.

Ὁ Πατὴρ, τοῦ πατρὸς, τῷ πατρὶ, τὸν πατέρα ὦ πάτερ. Οἱ πατέρες, τῶν πατέρων, τοῖς πατράσι, τοὺς πατέρας, ὦ πατέρες.

Ἡ μήτηρ, τῆς μητρὸς, τῇ μητρὶ, τὴν μητέρα, ὦ μῆτερ.

Ὁ κύων, τοῦ κυνὸς, τῷ κυνὶ, τὸν κύνα, ὦ κύων.

## Ἑτερόκλιτα κλίσει.

Ἡ Γυνὴ, τῆς γυναικὸς, τῇ γυναικὶ, τὴν γυναῖκα, ὦ γύναι.

Ὁ Πολὺς, τοῦ πολλοῦ, τῷ πολλῷ, τὸν πολύν.

Τὸ Πολὺ, τοῦ πολλοῦ, τῷ πολλῷ, τὸ πολύ.

Ὁ Μέγας, τοῦ μεγάλου, τῷ μεγάλῳ, τὸν μέγαν.

Τὸ Μέγα, τοῦ μεγάλου, τῷ μεγάλῳ, τὸ μέγα.

Ὁ Ζεὺς, τοῦ Διὸς, τῷ Διῒ, τὸν Δία.

Ὁ δεῖνα, τοῦ δεῖνος, τῷ δεῖνι, τὸν δεῖνα.

## Ἑτερόκλιτα ἀριθμῷ.

Ὁ δεσμὸς, τὸ δεσμά.
Ὁ ζυγὸς, τὰ ζυγά.
Ὁ νῶτος, τὰ νῶτα.

## Διφοροῦντα τῷ γένει.

Ὁ ςάδιος, τὸ ςάδιον.
Ὁ δεῖπνος, τὸ δεῖπνον.

## Ἀριθμητικά.

Εἷς, ἑνὸς, ἑνὶ, ἕνα. Μία, μιᾶς, μιᾷ, μίαν.
Ἓν, ἑνὸς, ἑνὶ, ἕν. Δύο, δυοῖν.
Τρεῖς, τριῶν, τρισὶ, τρεῖς. Τρία, τριῶν, τρισὶ, τρία.
Τέσσαρες, τεσσάρων, τέσσαρσι, τέσσαρας.
Τέσσαρα, τεσσάρων, τέσσαρσι, τέσσαρα.

Τὰ δὲ λοιπὰ μέχρι τῶν ἑκατὸν ἄκλιτα.

## ΠΕΡΙ ΑΝΤΩΝΥΜΙΑΣ.

| | | |
|---|---|---|
| Τῆς δὲ Ἀντωνυμίας. | Ἡ μὲν Πρωτότυπος. | ἐγὼ, σὺ, ὅς. |
| | Ἡ δὲ Κτητική. | ἐμὸς, σὸς, ἑός. |
| | Ἡ δὲ Δεικτική. | οὗτος, αὕτη, τοῦτο. |
| | Ἡ δὲ Ἀναφορική. | αὐτὸς, αὐτὴ, αὐτό. |
| | Ἡ δὲ Σύνθετος. | ἐμαυτοῦ, σεαυτοῦ, ἑαυτοῦ. |

Κλίσις τῆς Πρωτοτύπου, τοῦ ά. προσώπου.

Ἐγὼ, ἐμοῦ, ἐμοὶ, ἐμέ. Ἡμεῖς, ἡμῶν, ἡμῖν, ἡμᾶς.

Τοῦ β΄. προσώπου.

Σὺ, σοῦ, σοὶ, σέ. Ὑμεῖς, ὑμῶν, ὑμῖν, ὑμᾶς.

Τοῦ γ΄. προσώπου.

Ὅς, οὗ, οἷ, ἕ. Σφεῖς, σφῶν, σφίσι, σφᾶς.

Περὶ τῶν Κτητικῶν.

Κτητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναί εἰσιν ὀκτὼ αὗται.

| | |
|---|---|
| Ἐμὸς ἀπὸ τοῦ ἐμοῦ. . . . | ά. Πρόσωπον. |
| Σὸς ἀπὸ τοῦ σοῦ. . . . . | β΄. |
| Ἑὸς ἀπὸ τοῦ οὗ. . . . . | γ΄. |
| Ἡμέτερος ἀπὸ τοῦ ἡμῶν. | ά. ἐν Πληθυντικοῖς. |
| Ὑμέτερος ἀπὸ τοῦ ὑμῶν. | β΄. ἐν Πληθυντικοῖς. |
| Σφέτερος ἀπὸ τοῦ σφῶν. | γ΄. ἐν Πληθυντικοῖς. |

Συμπασῶν δὲ τῶν Ἀντωνυμιῶν, πλὴν τῶν Πρωτοτύπων, αἱ μὲν ἀρσενικαὶ καὶ οὐδέτεραι κατὰ τὴν τρίτην κλίνονται κλίσιν· αἱ δὲ θηλυκαὶ κατὰ τὴν δευτέραν.

### Κλίσις τῆς Δεικτικῆς.

Οὗτος, τούτου, τούτῳ, τοῦτον, ὦ οὗτος.
Αὕτη, ταύτης, ταύτῃ, ταύτην, ὦ αὕτη.
Τοῦτο, τούτου, τούτῳ, τοῦτο, ὦ τοῦτο.

Ἐκεῖνος, ἐκείνου, ἐκείνῳ, ἐκεῖνον.
Ἐκείνη, ἐκείνης, ἐκείνῃ, ἐκείνην.
Ἐκεῖνο, ἐκείνου, ἐκείνῳ, ἐκεῖνο.

### Κλίσις τῆς Ἀναφορικῆς.

Αὐτὸς, αὐτοῦ, αὐτῷ, αὐτόν.
Αὐτὴ, αὐτῆς, αὐτῇ, αὐτήν.
Αὐτὸ, αὐτοῦ, αὐτῷ, αὐτό.

Ὅς, οὗ, ᾧ, ὅν. Οἵ, ὧν, οἷς, οὕς.
Ἥ, ἧς, ᾗ, ἥν. Αἵ, ὧν, αἷς, ἅς.
Ὅ, οὗ, ᾧ, ὅ. Ἅ, ὧν, οἷς, ἅ.

### Κλίσις τῶν Συνθέτων ἀπὸ τῆς γενικῆς ἀρχομένων.

### Τοῦ πρώτου προσώπου.

Ἐμαυτοῦ, ἐμαυτῷ, ἐμαυτόν.
Ἐμαυτῆς, ἐμαυτῇ, ἐμαυτήν.
Ἐμαυτοῦ, ἐμαυτῷ, ἐμαυτό.

Τοῦ δευτέρου προσώπου.

Σεαυτοῦ, σεαυτῷ, σεαυτόν.
Σεαυτῆς, σεαυτῇ, σεαυτήν.
Σεαυτοῦ, σεαυτῷ, σεαυτό.

Τοῦ τρίτου προσώπου.

Ἑαυτοῦ, ἑαυτῷ, ἑαυτόν.
Ἑαυτῆς, ἑαυτῇ, ἑαυτήν.
Ἑαυτῷ, ἑαυτῷ, ἑαυτό.

Πληθυντικῶς δὲ καὶ ἐπὶ τῶν γ΄. προσώπων.

Ἑαυτῶν, ἑαυτοῖς, ἑαυτούς.
Ἑαυτῶν, ἑαυταῖς, ἑαυτάς.
Ἑαυτῶν, ἑαυτοῖς, ἑαυτά.

## ΠΕΡΙ ΡΗΜΑΤΟΣ.

Τοῦ Ῥήματος τὸ μὲν ἐςιν ἐνεργητικόν· οἷον, τύπτω. τὸ δὲ Παθητικόν· οἷον, τύπτομαι.

Παρέπονται δὲ αὐτῷ Ἐγκλίσεις μὲν πέντε. Ὁριςικὴ μὲν, τύπτω· Προςακτικὴ δὲ, τύπτε. Εὐκτικὴ δὲ, τύπτοιμι· Ὑποτακτικὴ δὲ, ἐὰν τύπτω· Ἀπαρέμφατος δὲ, τύπτειν.

Διαθέσεις δὲ, δύο· Ἐνεργητικὴ μὲν, τύπτω· Παθητικὴ δὲ, τύπτομαι.

Εἴδη δὲ, δύο· Πρωτότυπον μὲν, ἄρδω· Παράγωγον δὲ, ἀρδεύω.

Σχήματα δὲ, δύο· Ἁπλοῦν μὲν, φέρω· Σύνθετον δὲ, ἐπιφέρω.

Πρόσωπα δὲ, τρία· Πρῶτον μὲν, τύπτω· δεύτερον δὲ, τύπτεις· τρίτον δὲ, τύπτει.

Ἀριθμοὶ δὲ, δύο· Ἑνικὸς μὲν, τύπτω· Πληθυντικῶς δὲ, τύπτομεν.

Χρόνοι δὲ, ἕξ· Ἐνεςὼς μὲν, τύπτω· Παρατατικὸς δὲ, ἔτυπτον· Παρακείμενος δὲ, τέτυφα· Ὑπερσυντέλικος δὲ, ἐτετύφειν· Ἀόριςος δὲ, ἔτυψα· Μέλλων δὲ, τύψω· Συζυγίαι δὲ, τρεῖς. μία τῶν Βαρυτόνων, τρεῖς τῶν Περισπωμένων, καὶ μία τῶν εἰς μι.

## Τύπος τῶν Βαρυτόνων.

Βαρύτονα δὲ εἰσὶ τὰ εἰς ω λήγοντα καὶ παροξυτονούμενα πάντα. ὧν ὁ Μέλλων ἔχει ψ, ἢ ξ, ἢ σ, ἢ ἓν τῶν ἀμεταβόλων λ, μ, ν, ρ.

## Ὁριςικὰ Ἐνεργητικά.

| | |
|---|---|
| Ἐνεςώς. | Τύπτω, τύπτεις, τύπτει. |
| | Τύπτομεν, τύπτετε, τύπτουσι. |
| Παρατατικός. | Ἔτυπτον, ἔτυπτες, ἔτυπτε. |
| | Ἐτύπτομεν, ἐτύπτετε, ἔτυπτον. |
| Παρακείμενος. | Τέτυφα, τέτυφας, τέτυφε. |
| | Τετύφαμεν, τετύφατε, τετύφασι. |
| Ὑπερσυντέλικος. | Ἐτετύφειν, ἐτετύφεις, ἐτετύφει. |
| | Ἐτετύφειμεν, ἐτετύφειτε, ἐτετύφεισαν, καὶ τετύφεσαν. |
| καὶ Δεύτερος. | Ἐτετύπειν, ἐτετύπεις, ἐτετύπει. |

| | |
|---|---|
| | Ἐτετύπειμεν, ἐτετύπειτε, ἐτετύπεισαν, καὶ τετύπεσαν. |
| Ἀόριςος ά. | Ἔτυψα, ἔτυψας, ἔτυψε. |
| | Ἐτύψαμεν, ἐτύψατε, ἔτυψαν. |
| Ἀόριςος β'. | Ἔτυπον, ἔτυπες, ἔτυπε. |
| | Ἐτύπομεν, ἐτύπετε, ἔτυπον. |
| Μέλλων ά. | Τύψω, τύψεις, τύψει. |
| | Τύψομεν, τύψετε, τύψουσι. |
| Μέλλων β'. | Τυπῶ, τυπεῖς, τυπεῖ. |
| | Τυποῦμεν, τυπεῖτε, τυποῦσι. |

## Προςακτικά.

| | |
|---|---|
| Ἐνεςὼς καὶ | Τύπτε, τυπτέτω. |
| Παρατατικός. | Τύπτετε, τυπτέτωσαν ϗ τυπτόντων. |
| Παρακεί. καὶ | Τέτυφε, τετυφέτω. |
| Ὑπερσυντ. | Τετύφετε, τετυφέτωσαν. |
| καὶ Δεύτερος. | Τέτυπε, τετυπέτω. |
| Ἀόριςος ά. | Τύψον, τυψάτω. |
| | Τύψατε, τυψάτωσαν. |
| Ἀόριςος β'. | Τύπε, τυπέτω. |
| | Τύπετε, τυπέτωσαν. |

## Εὐκτικά.

| | |
|---|---|
| Ἐνεςὼς καὶ | Τύπτοιμι, τύπτοις, τύπτοι. |
| Παρατατικός. | Τύπτοιμεν, τύπτοιτε, τύπτοιεν. |
| Παρακείμ. καὶ | Τετύφοιμι, τετύφοις, τετύφοι. |
| Ὑπερσυντ. | Τετύφοιμεν, τετύφοιτε, τετύφοιεν. |
| καὶ Δεύτερος. | Τετύποιμι, τετύποις, τετύποι. |
| Ἀόριςος ά. | Τύψαιμι, τύψαις, τύψαι. |
| | Τύψαιμεν, τύψαιτε, τύψαιεν. |

| | |
|---|---|
| Αἰολικός. | . . . . . τύψειας, τύψειε. |
| | Πληθ. . . . . . τύψειαν. |
| Ἀόριςος β΄. | Τύποιμι, τύποις, τύποι. |
| | Τύποιμεν, τύποιτε, τύποιεν. |
| Μέλλων ά. | Τύψοιμι, τύψοις, τύψοι. |
| Μέλλων β΄. | Τυποῖμι, τυποῖς, τυποῖ. |
| | Τυποῖμεν, τυποῖτε, τυποῖεν. |

## Ὑποτακτικά.

| | |
|---|---|
| Ἐνεςὼς καὶ Παρατατ. | Ἐὰν τύπτω, τύπτῃς, τύπτῃ. |
| | Ἐὰν τύπτωμεν, τύπτητε, τύπτωσι. |
| Παρακ. καὶ Ὑπερσυντ. | Ἐὰν τετύφω, τετύφῃς, τετύφῃ. |
| | Ἐὰν τετύφωμεν, τετύφητε, τετύφωσι. |
| καὶ Δεύτερος. | Ἐὰν τετύπω, τετύπῃς, τετύπῃ. |
| Ἀόριςος ά. | Ἐὰν τύψω, τύψῃς, τύψῃ. |
| Ἀόριςος β΄. | Ἐὰν τύπω, τύπῃς, τύπῃ. |

## Ἀπαρέμφατα.

| | |
|---|---|
| Ἐνες. καὶ Παρατ. | Τύπτειν. |
| Παρακ. καὶ Ὑπερσ. | Τετυφέναι. |
| καὶ Δεύτερος. | Τετυπέναι. |
| Ἀόριςος ά. | Τύψαι. |
| Ἀόριςος β΄. | Τυπεῖν. |
| Μέλλων ά. | Τύψειν. |
| Μέλλων β΄. | Τυπεῖν. |

## Μετοχαί.

| | | |
|---|---|---|
| Ἐνεςὼς καὶ Παρατ. | Ὁ τύπτων, | τοῦ τύπτοντος. |
| | Ἡ τύπτουσα, | τῆς τυπτούσης. |

| | | |
|---|---|---|
| | Τὸ τύπτον, | τοῦ τύπτοντος. |
| Παρακ. καὶ | Ὁ τετυφὼς, | τοῦ τετυφότος. |
| Ὑπερσυντ. | Ἡ τετυφῦα, | τῆς τετυφύας. |
| | Τὸ τετυφὸς, | τοῦ τετυφότος. |
| καὶ Δεύτερος. | Ὁ τετυπὼς, | τοῦ τετυπότος. |
| | Ἡ τετυπῦα, | τῆς τετυπύας. |
| | Τὸ τετυπὸς, | τοῦ τετυπότος. |
| Ἀόριςος ά. | Ὁ τύψας, | τοῦ τύψαντος. |
| | Ἡ τύψασα, | τῆς τυψάσης. |
| | Τὸ τύψαν, | τοῦ τύψαντος. |
| Ἀόριςος β'. | Ὁ τυπὼν, | τοῦ τυπόντος. |
| | Ἡ τυποῦσα, | τῆς τυπούσης. |
| | Τὸ τυπὸν, | τοῦ τυπόντος. |
| Μέλλων ά. | Ὁ τύψων, | τοῦ τύψοντος. |
| | Ἡ τύψουσα, | τῆς τυψούσης. |
| | Τὸ τύψον, | τοῦ τύψοντος. |
| Μέλλων β'. | Ὁ τυπῶν, | τοῦ τυπαῦντος. |
| | Ἡ τυποῦσα, | τῆς τυπούσης. |
| | Τὸ τυποῦν, | τοῦ τυποῦντος. |

## Ὁριςικὰ Παθητικά.

| | |
|---|---|
| Ἐνεςώς. | Τύπτομαι, τύπτῃ, τύπτεται. |
| | Τυπτόμεθα, τύπτεσθε, τύπτονται. |
| Παρατατικός. | Ἐτυπτόμην, ἐτύπτου, ἐτύπτετο. |
| | Ἐτυπτόμεθα, ἐτύπτεσθε, ἐτύπτοντο. |
| Παρακείμ. | Τέτυμμαι, τέτυψαι, τέτυπται. |
| | Τετύμμεθα, τέτυφθε, τετύφαται. |
| Ὑπερσυντ. | Ἐτετύμμην, ἐτέτυψο, ἐτέτυπτο. |
| | Ἐτετύμμεθα, ἐτέτυφθε, ἐτετύφατο. |
| Μετ. ὀλ. Μέλ. | Τετύψομαι, τετύψῃ, τετύψεται. |

| | |
|---|---|
| | Τετυψόμεθα, τετύψεσθε, τετύψονται. |
| Α'όριςος ά. | Ε'τύφθην, ἐτύφθης, ἐτύφθη. |
| | Ε'τύφθημεν, ἐτύφθητε, ἐτύφθησαν. |
| Α'όριςος β'. | Ε'τύπην, ἐτύπης, ἐτύπη. |
| Μέλλων ά. | Τυφθήσομαι, τυφθήσῃ, τυφθήσεται. |
| | Τυφθησόμεθα, τυφθήσεσθε, τυφθήσονται. |
| καὶ Δεύτερος. | Τυπήσομαι, τυπήσῃ, τυπήσεται. |
| Μέσ. ἀόρ. ά. | Ε'τυψάμην, ἐτύψω, ἐτύψατο. |
| | Ε'τυψάμεθα, ἐτύψασθε, ἐτύψαντο. |
| Μέσ. ἀόρ. β'. | Ε'τυπόμην, ἐτύπου, ἐτύπετο. |
| | Ε'τυπόμεθα, ἐτύπεσθε, ἐτύποντο. |
| Μέσ. μέλ. ά. | Τύψομαι, τύψῃ, τύψεται. |
| | Τυψόμεθα, τύψεσθε, τύψονται. |
| Μέσ. μέλ. β'. | Τυποῦμαι, τυπῇ, τυπεῖται. |
| | Τυπούμεθα, τυπεῖσθε, τυποῦνται. |

## Προςακτικά.

| | |
|---|---|
| Ε'νεςὼς καὶ Παρατ. | Τύπτου, τυπτέσθω. |
| | Τύπτεσθε, τυπτέσθωσαν, καὶ τυπτέσθων. |
| Παρακ. καὶ Υ'περ. | Τέτυψο, τετύφθω. |
| | Τέτυφθε, τετύφθωσαν, ἢ τετύφθων. |
| Α'όριςος ά. | Τύφθητι, τυφθήτω. |
| | Τύφθητε, τυφθήτωσαν. |
| Α'όριςος β'. | Τύπηθι, τυπήτω. |
| Μέσ. ἀόρ. ά. | Τύψαι, τυψάσθω. |
| | Τύψασθε, τυψάσθωσαν. |
| Μέσ. ἀόρ. β'. | Τυποῦ, τυπέσθω. |
| | Τύπεσθε, τυπέσθωσαν. |

## Εὐκτικά.

| | |
|---|---|
| Ἐνεστὼς καὶ | Τυπτοίμην, τύπτοιο, τύπτοιτο. |
| Παρατ. | Τυπτοίμεθα, τύπτοισθε, τύπτοιντο. |
| Παρακ. καὶ | Τετυμμένος, εἴην, εἴης, εἴη. |
| Ὑπερσ. | Τετυμμένοι, εἴημεν, εἴητε, εἴησαν. |
| Μετ' ὀλ. Μέλ. | Τετυψοίμην, τετύψοιο, τετύψοιτο. |
| | Τετυψοίμεθα, τετύψοισθε, τετύψοιντο |
| Ἀόριστος α΄. | Τυφθείην, τυφθείης, τυφθείη. |
| | Τυφθείημεν, τυφθείητε, τυφθείησαν. |
| καὶ Δεύτερος. | Τυπείην, τυπείης, τυπείη. |
| Μέλλων α΄. | Τυφθησοίμην, τυφθήσοιο, τυφθήσοιτο. |
| | Τυφθησοίμεθα, τυφθήσοισθε, τυφθήσοιντο. |
| Μέλλων β΄. | Τυπησοίμην, τυπήσοιο, τυπήσοιτο. |
| Μέσ. ἀόρ. α΄. | Τυψαίμην, τύψαιο, τύψαιτο. |
| | Τυψαίμεθα, τύψαισθε, τύψαιντο. |
| Μέσ. ἀόρ. β΄. | Τυποίμην, τύποιο, τύποιτο. |
| Μέσ. μέλ. α΄. | Τυψοίμην, τύψοιο, τύψοιτο. |
| Μέσ. μέλ. β΄. | Τυποίμην, τυποῖο, τυποῖτο. |
| | Τυποίμεθα, τυποῖσθε, τυποῖντο. |

## Ὑποτακτικά.

| | |
|---|---|
| Ἐνεστὼς καὶ | Ἐὰν τύπτωμαι, τύπτῃ, τύπτηται. |
| Παρατ. | Ἐὰν τυπτώμεθα, τύπτεσθε, τύπτωνται. |
| Παρακ. καὶ | Τετυμμένος ἐὰν ὦ, ᾖς, ᾖ. |
| Ὑπερσ. | Τετυμμένοι ἐὰν ὦμεν, ἦτε, ὦσι. |
| Ἀόριστος α΄. | Ἐὰν τυφθῶ, τυφθῇς, τυφθῇ. |
| | Ἐὰν τυφθῶμεν, τυφθῆτε, τυφθῶσι. |

| | |
|---|---|
| Αʹόριςος βʹ. | Εʹὰν τυπῶ, τυπῇς, τυπῇ. |
| Μέσ. ἀόρ. αʹ. | Εʹὰν τύψωμαι, τύψῃ, τύψηται. |
| | Εʹὰν τυψώμεθα, τύψησθε, τύψωνται. |
| Μέσ. ἀόρ. βʹ. | Εʹὰν τύπωμαι, τύπῃ, τύπηται. |

## Αʹπαρέμφατα.

| | |
|---|---|
| Εʹνες. καὶ Παρατ. | Τύπτεσθαι. |
| Παρακ. καὶ Υʹπερσ. | Τετύφθαι. |
| Μετʹ ὀλίγον μέλλων. | Τετύψεσθαι. |
| Αʹόριςος αʹ. | Τυφθῆναι. |
| Αʹόριςος βʹ. | Τυπῆναι. |
| Μέσ. ἀόρ. αʹ. | Τύψασθαι. |
| Μέσ. ἀόρ. βʹ. | Τυπέσθαι. |
| Μέσ. μέλ. αʹ. | Τύψεσθαι. |
| Μέσ. μέλ. βʹ. | Τυπεῖσθαι. |

## Μετοχαί.

| | | |
|---|---|---|
| Εʹνεςὼς καὶ | Οʹ τυπτόμενος, | τοῦ τυπτομένου. |
| Παρατ. | Ηʹ τυπτομένη, | τῆς τυπτομένης. |
| | Τὸ τυπτόμενον, | τοῦ τυπτομένου. |
| Παρακ. καὶ | Οʹ τετυμμένος, | τοῦ τετυμμένου. |
| Υʹπερσ. | Ηʹ τετυμμένη, | τῆς τετυμμένης. |
| | Τὸ τετυμμένον, | τοῦ τετυμμένου. |
| Μετʹ ὀλ. μέλ. | Οʹ τετυψόμενος, | τοῦ τετυψομένου. |
| | Ηʹ τετυψομένη, | τῆς τετυψομένης. |
| | Τὸ τετυψόμενον, | τοῦ τετυψομένου. |
| Αʹόριςος αʹ. | Οʹ τυφθεὶς, | τοῦ τυφθέντος. |
| | Ηʹ τυφθεῖσα, | τῆς τυφθείσης. |
| | Τὸ τυφθὲν, | τοῦ τυφθέντος. |
| Αʹόριςος βʹ. | Οʹ τυπεὶς, | τοῦ τυπέντος. |

| | |
|---|---|
| | Ἡ τυπεῖσα, τῆς τυπείσης. |
| | Τὸ τυπὲν, τοῦ τυπέντος. |
| Μέλλων ά. | Ὁ τυφθησόμενος, ἡ τυφθησομένη, τὸ τυφθησόμενον. |
| καὶ Δεύτερος. | Ὁ τυπησόμενος, ἡ τυπησομένη, τὸ τυπησόμενον. |
| Μέσ. ἀόρ. ά. | Ὁ τυψάμενος, ἡ τυψαμένη, τὸ τυψάμενον. |
| Μέσ. ἀόρ. β'. | Ὁ τυπόμενος, ἡ τυπομένη, τὸ τυπόμενον. |
| Μέσ. μέλ. ά. | Ὁ τυψόμενος, ἡ τυψομένη, τὸ τυψόμενον. |
| Μέσ. μέλ. β'. | Ὁ τυπούμενος, ἡ τυπουμένη, τὸ τυπούμενον. |

## Τύποι τῶν Περισπωμένων.

Περισπώμενα δὲ ῥήματά εἰσιν, ὅσα ἔχουσι περισπώμενον τόνον κατὰ τὴν λήγουσαν· οἷον, Ποιῶ, Νικῶ, Χρυσῶ. ὧν ἡ πρώτη συζυγία, διὰ τοῦ ῶ, εῖς, εῖ προφέρεται, καὶ τὸ Ἀπαρέμφατον εἰς εῖν σχηματίζει.

### Ὁριστικὰ Ἐνεργητικά.

| | |
|---|---|
| Ἐνεστώς. | Ποιῶ, ποιεῖς, ποιεῖ. |
| | Ποιοῦμεν, ποιεῖτε, ποιοῦσι, |
| Παρατατ. | Ἐποίουν, ἐποίεις, ἐποίει. |
| | Ἐποιοῦμεν, ἐποιεῖτε, ἐποίουν. |
| Παρακ. | Πεποίηκα, πεποίηκας, πεποίηκε. |

| | |
|---|---|
| Ὑπερσ. | Ἐπεποιήκειν, ἐπεποιήκεις, ἐπεποιήκει |
| Ἀόριςος. | Ἐποίησα, ἐποίησας, ἐποίησε. |
| Μέλλων. | Ποιήσω, ποιήσεις, ποιήσει. |

Προςακτικά.

| | |
|---|---|
| Ἐνεςώς. καὶ Παρατατ. | Ποίει, ποιείτω. |
| | Ποιεῖτε, ποιείτωσαν καὶ ποιούντων. |
| Παρακ. | Πεποίηκε, πεποιηκέτω. |
| Ἀόριςος. | Ποίησον, ποιησάτω. |

Εὐκτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ποιοῖμι, ποιοῖς, ποιοῖ. |
| | Ποιοῖμεν, ποιοῖτε, ποιοῖεν. |
| Αἰολικός. | Ποιοίην, ποιοίης, ποιοίη. |
| Παρακ. | Πεποιήκοιμι, πεποιήκοις, πεποιήκοι. |
| Ἀόριςος. | Ποιήσαιμι, ποιήσαις, ποιήσαι. |
| Αἰολικός. | . . . . ποιήσειας, ποιήσειε. |
| | Πληθ. . . . . . . ποιήσειαν. |
| Μέλλων. | Ποιήσοιμι, ποιήσοις, ποιήσοι. |

Ὑποτακτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ἐὰν ποιῶ, ποιῇς, ποιῇ. |
| | Ἐὰν ποιῶμεν, ποιῆτε, ποιῶσι. |
| Παρακ. | Ἐὰν πεποιήκω, πεποιήκῃς, πεποιήκῃ. |
| Ἀόριςος. | Ἐὰν ποιήσω, ποιήσῃς, ποιήσῃ. |

Ἀπαρέμφατα.

| | |
|---|---|
| Ἐνεςώς. | Ποιεῖν. |
| Παρακείμενος. | Πεποιηκέναι. |
| Ἀόριςος. | Ποιῆσαι. |

| | |
|---|---|
| Μέλλων. | Ποιήσειν. |

### Μετοχαί.

| | |
|---|---|
| Ἐνεςώς. | Ὁ Ποιῶν, τοῦ ποιοῦντος· ἡ ποιοῦσα, ποιούσης· τὸ ποιοῦν, τοῦ ποιοῦντος. |
| Παρακ. | Ὁ πεποιηκὼς, ἡ πεποιηκῦια, τὸ πεποιηκός. |
| Ἀόριςος. | Ὁ ποιήσας, ἡ ποιήσασα, τὸ ποιῆσαν. |
| Μέλλων. | Ὁ ποιήσων, ἡ ποιήσουσα, τὸ ποιῆσον. |

### Ὁριςικὰ Παθητικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ποιοῦμαι, ποιῇ, ποιεῖται. |
| | Ποιούμεθα, ποιεῖσθε, ποιοῦνται. |
| Παρατατ. | Ἐποιούμην, ἐποιοῦ, ἐποιεῖτο. |
| | Ἐποιούμεθα, ἐποιεῖσθε, ἐποιοῦντο. |
| Παρακ. | Πεποίημαι, πεποίησαι, πεποίηται. |
| | Πεποιήμεθα, πεποίησθε, πεποίηνται. |
| Ὑπερσ. | Ἐπεποιήμην, ἐπεποίησο, ἐπεποίητο. |
| | Ἐπεποιήμεθα, ἐπεποίησθε, ἐπεποίηντο. |
| Ἀόριςος ά. | Ἐποιήθην, ἐποιήθης, ἐποιήθη. |
| Μέλλων ά. | Ποιηθήσομαι, ποιηθήσῃ, ποιηθήσεται. |
| Μέσ. ἀόρ. ά. | Ἐποιησάμην, ἐποιήσω, ἐποιήσατο. |
| Μέσ. μέλ. | Ποιήσομαι, ποιήσῃ, ποιήσεται. |

### Προςακτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ποιοῦ, ποιείσθω. |
| | Ποιεῖσθε, ποιείσθωσαν καὶ ποιείσθων. |
| Παρακ. | Πεποίησο, πεποιείσθω. |
| Ἀόριςος. | Ποιήθητι, ποιηθήτω· |

| | |
|---|---|
| Μέσ. ἀόρ. | Ποίησαι, ποιησάσθω. |

Εὐκτικά.

| | |
|---|---|
| Ἐνεστώς. | Ποιοίμην, ποιοῖο, ποιοῖτο. |
| | Ποιοίμεθα, ποιοῖσθε, ποιοῖντο. |
| Παρακ. | Πεποιήμην, πεποιῇο, πεποιῇτο. |
| | Πεποιήμεθα, πεποιῇσθε, πεποιῇντο. |
| Μετ' ὀλ. μέλ. | Πεποιησοίμην, πεποιήσοιο, πεποιήσοιτο. |
| | Πεποιησοίμεθα, πεποιήσοισθε, πεποιήσοιντο. |
| Ἀόριστος. | Ποιηθείην, ποιηθείης, ποιηθείη. |
| Μέλλων. | Ποιηθησοίμην, ποιηθήσοιο, ποιηθήσοιτο. |
| Μέσ. ἀόρ. | Ποιησαίμην, ποιήσαιο, ποιήσαιτο. |
| Μέσ. μέλ. | Ποιησοίμην, ποιήσοιο, ποιήσοιτο. |

Ὑποτακτικά.

| | |
|---|---|
| Ἐνεστώς. | Ἐὰν ποιῶμαι, ποιῇ, ποιῆται. |
| | Ἐὰν ποιώμεθα, ποιῆσθε, ποιῶνται. |
| Παρακ. | Ἐὰν πεποιῶμαι, πεποιῇ, πεποιῆται. |
| Ἀόριστος. | Ἐὰν ποιηθῶ, ποιηθῇς, ποιηθῇ. |
| Μέσ. ἀόρ. | Ἐὰν ποιήσωμαι, ποιήσῃ, ποιήσηται. |

Ἀπαρέμφατα.

| | |
|---|---|
| Ἐνεστώς. | Ποιεῖσθαι. |
| Παρακείμενος. | Πεποιῆσθαι. |
| Μετ' ὀλ. μέλλων. | Πεποιήσεσθαι. |
| Ἀόριστος. | Ποιηθῆναι. |
| Μέλλων. | Ποιηθήσεσθαι. |

| | |
|---|---|
| Μέσ. ἀόριςος. | Ποιήσασθαι. |
| Μέσ. μέλλων. | Ποιήσεσθαι. |

Μετοχαί.

| | |
|---|---|
| Ἐνεςώς. | Ὁ ποιούμενος, τοῦ ποιουμένου. |
| | Ἡ ποιουμένη, τῆς ποιουμένης. |
| | Τὸ ποιούμενον, τοῦ ποιουμένου. |
| Παρακ. | Ὁ πεποιημένος, ἡ πεποιημένη, τὸ πεποιημένον. |
| Μετ᾽ ὀλ. μέλ. | Ὁ πεποιησόμενος, ἡ πεποιησομένη, τὸ πεποιησόμενον. |
| Ἀόριςος. | Ὁ ποιηθεὶς, ἡ ποιηθεῖσα, τὸ ποιηθέν. |
| Μέλλων. | Ὁ ποιηθησόμενος, ἡ ποιηθησομένη, τὸ ποιηθησόμενον. |
| Μέσ. ἀόρ. | Ὁ ποιησάμενος, ἡ ποιησαμένη, τὸ ποιησάμενον. |
| Μέσ. μέλ. | Ὁ ποιησόμενος, ἡ ποιησομένη, τὸ ποιησόμενον. |

Ἡ δὲ δευτέρα τῶν Περισπωμένων διὰ τοῦ ῶ, ᾶς, ᾶ προφέρεται, καὶ τὸ Ἀπαρέμφατον εἰς ᾶν σχηματίζει.

Ὁριςικὰ Ἐνεργητικά.

| | |
|---|---|
| Ἐνεςώς. | Νικῶ, νικᾷς, νικᾷ. |
| | Νικῶμεν, νικᾶτε, νικῶσι. |
| Παρατατ. | Ἐνίκων, ἐνίκας, ἐνίκα. |
| | Ἐνικῶμεν, ἐνικᾶτε, ἐνίκων. |
| Παρακ. | Νενίκηκα, νενίκηκας, νενίκηκε. |
| Ὑπερσ. | Ἐνενικήκειν, ἐνενικήκεις, ἐνενικήκει. |

| | |
|---|---|
| Α'όριϛος. | Ε'νίκησα, ἐνίκησας, ἐνίκησε. |
| Μέλλων. | Νικήσω, νικήσεις, νικήσει. |

Προϛακτικά.

| | |
|---|---|
| Ε'νεϛώς. | Νίκα, νικάτω. |
| | Νικᾶτε, νικάτωσάν καὶ νικώντων. |
| Παρακ. | Νενίκηκε, νενικηκέτω. |
| Α'όριϛος. | Νίκησον, νικησάτω. |

Εὐκτικά.

| | |
|---|---|
| Ε'νεϛώς. | Νικῷμι, νικῷς, νικῷ. |
| | Νικῷμεν, νικῷτε, νικῷεν. |
| Αἰολικός. | Νικῴην, νικῴης, νικῴη. |
| Παρακ. | Νενικήκοιμι, νενικήκοις, νενικήκοι. |
| Α'όριϛος. | Νικήσαιμι, νικήσαις, νικήσαι. |
| Αἰολικός. | . . . . νικήσειας, νικήσειε. |
| | Πληθ. . . . . . . νικήσειαν. |
| Μέλλων. | Νικήσοιμι, νικήσοις, νικήσοι. |

Ὑποτακτικά.

| | |
|---|---|
| Ε'νεϛώς. | Ε'ὰν νικῶ, νικᾷς, νικᾷ. |
| | Ε'ὰν νικῶμεν, νικᾶτε, νικῶσι. |
| Παρακ. | Ε'ὰν νενικήκω, νενικήκῃς, νενικήκῃ. |
| Α'όριϛος. | Ε'ὰν νικήσω, νικήσῃς, νικήσῃ. |

Α'παρέμφατα.

| | |
|---|---|
| Ε'νεϛώς. | Νικᾷν. |
| Παρακείμενος. | Νενικηκέναι. |
| Α'όριϛος. | Νικῆσαι. |
| Μέλλων. | Νικήσειν. |

## Μετοχαί.

| | |
|---|---|
| Ἐνεστώς. | Ὁ Νικῶν, τοῦ νικῶντος. |
| | Ἡ νικῶσα, τῆς νικώσης. |
| | Τὸ νικῶν, τοῦ νικῶντος. |
| Παρακ. | Ὁ νενικηκὼς, ἡ νενικηκῦα, τὸ νενικηκός. |
| Ἀόριστος. | Ὁ νικήσας, ἡ νικήσασα, τὸ νικῆσαν. |
| Μέλλων. | Ὁ νικήσων, ἡ νικήσουσα, τὸ νικῆσον. |

## Ὁριστικὰ Παθητικά.

| | |
|---|---|
| Ἐνεστώς. | Νικῶμαι, νικᾷ, νικᾶται. |
| | Νικώμεθα, νικᾶσθε, νικῶνται. |
| Παρατ. | Ἐνικώμην, ἐνικῶ, ἐνικᾶτο. |
| | Ἐνικώμεθα, ἐνικᾶσθε, ἐνικῶντο. |
| Παρακ. | Νενίκημαι, νενίκησαι, νενίκηται. |
| Μετ' ὀλ. μέλ. | Νενικήσομαι, νενικήσῃ, νενηκήσεται. |
| Ὑπερσ. | Ἐνενικήμην, ἐνενίκησο, ἐνενίκητο. |
| Ἀόριστος. | Ἐνικήθην, ἐνικήθης, ἐνικήθη. |
| Μέλλων. | Νικηθήσομαι, νικηθήσῃ, νικηθήσεται. |
| Μέσ. ἀόρ. | Ἐνικησάμην, ἐνικήσω, ἐνικήσατο. |
| Μέσ. μέλ. | Νικήσομαι, νικήσῃ, νικήσεται. |

## Προστακτικά.

| | |
|---|---|
| Ἐνεστώς. | Νικῶ, νικάσθω. |
| | Νικᾶσθε, νικάσθωσαν καὶ νικάσθων. |
| Παρατ. | Νενίκησο, νενικήσθω. |
| Ἀόριστος. | Νικήθητι, νικηθήτω. |
| Μέσ. ἀόρ. | Νίκησαι, νικησάσθω. |

## Εὐκτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Νικῴμην, νικῷο, νικῷτο. |
| | Νικῴμεθα, νικῷσθε, νικῷντο. |
| Παρακ. | Νενικῄμην, νενικῇο, νενικῇτο. |
| Μετ᾽ ὀλ. μέλ. | Νενικησοίμην, νενικήσοιο, νενικήσοιτο |
| Ἀόριςος. | Νικηθείην, νικηθείης, νικηθείη. |
| Μέλλων. | Νικηθησοίμην, νικηθήσοιο, νικηθήσοιτο. |
| Μέσ. ἀόρ. | Νικησαίμην, νικήσαιο, νικήσαιτο. |
| Μέσ. μέλ. | Νικησοίμην, νικήσοιο, νικήσοιτο. |

## Ὑποτακτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ἐὰν νικῶμαι, νικᾷ, νικᾶται. |
| | Ἐὰν νικώμεθα, νικᾶσθε, νικῶνται. |
| Παρακ. | Ἐὰν νενικῶμαι, νενικῇ, νενικῆται. |
| Ἀόριςος. | Ἐὰν νικηθῶ, νικηθῇς, νικηθῇ. |
| Μέσ. ἀόρ. | Ἐὰν νικήσωμαι, νικήσῃ, νικήσηται. |

## Ἀπαρέμφατα.

| | |
|---|---|
| Ἐνεςώς. | Νικᾶσθαι. |
| Παρακείμενος. | Νενικῆσθαι. |
| Μετ᾽ ὀλ. μέλλων. | Νενικήσεσθαι. |
| Ἀόριςος. | Νικηθῆναι. |
| Μέλλων. | Νικηθήσεσθαι. |
| Μέσ. ἀόρ. | Νικήσασθαι. |
| Μέσ. μέλ. | Νικήσεσθαι. |

## Μετοχαί.

| | |
|---|---|
| Ἐνεςώς. | Ὁ νικώμενος, τοῦ νικωμένου. |

| | |
|---|---|
| | Ἡ νικωμένη, τῆς νικωμένης. |
| | Τὸ νικώμενον, τοῦ νικωμένου. |
| Παρακ. | Ὁ νενικημένος, ἡ νενικημένη, τὸ νενικημένον. |
| Μετ' ὀλ. μέλ. | Ὁ νενικησόμενος, ἡ νενικησομένη, τὸ νενικησόμενον. |
| Ἀόριςος. | Ὁ νικηθεὶς, ἡ νικηθεῖσα, τὸ νικηθέν. |
| Μέλλων. | Ὁ νικηθησόμενος, ἡ νικηθησομένη, τὸ νικηθησόμενον. |
| Μέσ. ἀόρ. | Ὁ νικησάμενος, ἡ νικησαμένη, τὸ νικησάμενον. |
| Μέσ. μέλ. | Ὁ νικησόμενος, ἡ νικησομένη, τὸ νικησόμενον. |

Ἡ δὲ τρίτη Συζυγία τῶν Περισπωμένων διὰ τοῦ ῶ, οῖς, οῖ προφέρεται, καὶ τὸ Ἀπαρέμφατον εἰς οῦν σχηματίζει.

Ὁριςικὰ Ἐνεργητικά.

| | |
|---|---|
| Ἐνεςώς. | Χρυσῶ, χρυσοῖς, χρυσοῖ. |
| | Χρυσοῦμεν, χρυσοῦτε, χρυσοῦσι. |
| Παρατ. | Ἐχρύσουν, ἐχρύσους, ἐχρύσου. |
| | Ἐχρυσοῦμεν, ἐχρυσοῦτε, ἐχρύσουν. |
| Παρακ. | Κεχρύσωκα, κεχρύσωκας, κεχρύσωκε. |
| Ὑπερσ. | Ἐκεχρυσώκειν, ἐκεχρυσώκεις, ἐκεχρυσώκει. |
| Ἀόριςος. | Ἐχρύσωσα, ἐχρύσωσας, ἐχρύσωσε. |
| Μέλλων. | Χρυσώσω, χρυσώσεις, χρυσώσει. |

## Προςακτικά.

| | |
|---|---|
| Ε'νεςώς. | Χρύσου, χρυσούτω. |
| | Χρυσοῦτε, χρυσούτωσαν, καὶ χρυσούντων. |
| Παρακ. | Κεχρύσωκε, κεχρυσωκέτω. |
| Α'όριςος. | Χρύσωσον, χρυσωσάτω. |

## Εὐκτικά.

| | |
|---|---|
| Ε'νεςώς. | Χρυσοῖμι, χρυσοῖς, χρυσοῖ. |
| | Χρυσοῖμεν, χρυσοῖτε, χρυσοῖεν. |
| Αἰολικός. | Χρυσοίην, χρυσοίης, χρυσοίη. |
| Δωρικός. | Χρυσῴην, χρυσῴης, χρυσῴη. |
| Παρακ. | Κεχρυσώκοιμι, κεχρυσώκοις, κεχρυσώκοι. |
| Α'όριςος. | Χρυσώσαιμι, χρυσώσαις, χρυσώσαι. |
| Αἰολικός. | . . . . . χρυσώσειας, χρυσώσειε. |
| | Πληθ. . . . . . . χρυσώσειαν. |
| Μέλλων. | Χρυσώσοιμι, χρυσώσοις, χρυσώσοι. |

## Ὑποτακτικά.

| | |
|---|---|
| Ε'νεςώς. | Ε'ὰν χρυσῶ, χρυσοῖς, χρυσοῖ. |
| | Ε'ὰν χρυσῶμεν, χρυσῶτε, χρυσῶσι. |
| Παρακ. | Ε'ὰν κεχρυσώκω, κεχρυσώκῃς, κεχρυσώκῃ. |
| Α'όριςος. | Ε'ὰν χρυσώσω, χρυσώσῃς, χρυσώσῃ. |

## Α'παρέμφατα.

| | |
|---|---|
| Ε'νεςώς. | Χρυσοῦν. |
| Παρακείμενος. | Κεχρυσωκέναι. |

| | |
|---|---|
| Αʼόριςος. | Χρυσῶσαι. |
| Μέλλων. | Χρυσώσειν. |

Μετοχαί.

| | |
|---|---|
| Ενεςώς. | Ο χρυσῶν, τοῦ χρυσοῦντος. |
| | Η χρυσοῦσα, τῆς χρυσούσης. |
| | Τὸ χρυσοῦν, τοῦ χρυσοῦντος. |
| Παρακ. | Ο κεχρυσωκὼς, ἡ κεχρυσωκῦα, τὸ κεχρυσωκός. |
| Αʼόριςος. | Ο χρυσώσας, ἡ χρυσώσασα, τὸ χρυσῶσαν. |
| Μέλλων. | Ο χρυσώσων, ἡ χρυσώσουσα, τὸ χρυσῶσον. |

Οριςικὰ Παθητικά.

| | |
|---|---|
| Ενεςώς. | Χρυσοῦμαι, χρυσοῖ, χρυσοῦται. |
| | Χρυσούμενα, χρυσοῦσθε, χρυσοῦνται. |
| Παρατ. | Εχρυσούμην, ἐχρυσοῦ, ἐχρυσοῦτο. |
| | Εχρυσούμεθα, ἐχρυσοῦσθε, ἐχρυσοῦντο. |
| Παρακ. | Κεχρύσωμαι, κεχρύσωσαι, κεχρύσωται. |
| Υπερσ. | Εκεχρυσώμην, ἐκεχρύσωσο, ἐκεχρύσωτο. |
| Αʼόριςος. | Εχρυσώθην, ἐχρυσώθης, ἐχρυσώθη. |
| Μέλλων. | Χρυσωθήσομαι, χρυσωθήσῃ, χρυσωθήσεται. |
| Μέσ. ἀόρ. | Εχρυσωσάμην, ἐχρυσώσω, ἐχρυσώσατο. |
| Μέσ. μέλ. | Χρυσώσομαι, χρυσώσῃ, χρυσώσεται. |

## Προςακτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Χρυσοῦ, χρυσούσθω. |
| | Χρυσοῦσθε, χρυσούσθωσαν, καὶ χρυσούσθων. |
| Παρακ. | Κεχρύσωσο, κεχρυσώσθω. |
| Ἀόριςος. | Χρυσώθητι, χρυσωθήτω. |
| Μέσ. ἀόρ. | Χρύσωσαι, χρυσωσάσθω. |

## Εὐκτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Χρυσοίμην, χρυσοῖο, χρυσοῖτο. |
| | Χρυσοίμεθα, χρυσοῖσθε, χρυσοῖντο. |
| Παρακ. | Κεχρυσῴμην, κεχρυσῷο, κεχρυσῷτο. |
| Μετ' ὀλ. μέλ. | Κεχρυσωσοίμην, κεχρυσώσοιο, κεχρυσώσοιτο. |
| Ἀόριςος. | Χρυσωθείην, χρυσωθείης, χρυσωθείη. |
| Μέλλων. | Χρυσωθησοίμην, χρυσωθήσοιο, χρυσωθήσοιτο. |
| Μέσ. ἀόρ. | Χρυσωσαίμην, χρυσώσαιο, χρυσώσαιτο. |
| Μέσ. μέλ. | Χρυσωσοίμην, χρυσώσοιο, χρυσώσοιτο |

## Ὑποτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ἐὰν χρυσῶμαι, χρυσῷ, χρυσῶται. |
| | Ἐὰν χρυσώμεθα, χρυσῶσθε, χρυσῶνται. |
| Παρακ. | Ἐὰν κεχρυσῶμαι, κεχρυσῷ, κεχρυσῶται. |
| Ἀόριςος. | Ἐὰν χρυσωθῶ, χρυσωθῇς, χρυσωθῇ. |
| Μέσ. ἀόρ. | Ἐὰν χρυσώσωμαι, χρυσώσῃ, χρυσώσηται. |

## Ἀπαρέμφατα.

| | |
|---|---|
| Ἐνεςώς. | Χρυσοῦσθαι. |
| Παρακείμενος. | Κεχρυσῶσθαι. |
| Μετ' ὀλ. μέλλων. | Κεχρυσώσεσθαι. |
| Ἀόριςος. | Χρυσωθῆναι. |
| Μέλλων. | Χρυσωθήσεσθαι. |
| Μέσ. ἀόριςος. | Χρυσώσασθαι. |
| Μέσ. μέλλων. | Χρυσώσεσθαι. |

## Μετοχαί.

| | |
|---|---|
| Ἐνεςώς. | Ὁ χρυσούμενος, τοῦ χρυσουμένου. Ἡ χρυσουμένη, τῆς χρυσουμένης. Τὸ χρυσούμενον, τοῦ χρυσουμένου. |
| Παρακ. | Ὁ κεχρυσωμένος, ἡ κεχρυσωμένη, τὸ κεχρυσωμένον. |
| Μετ' ὀλ. μέλ. | Ὁ κεχρυσωσόμενος, ἡ κεχρυσωσομένη, τὸ κεχρυσωσόμενον. |
| Ἀόριςος. | Ὁ χρυσωθεὶς, ἡ χρυσωθεῖσα, τὸ χρυσωθέν. |
| Μέλλων. | Ὁ χρυσωθησόμενος, ἡ χρυσωθησομένη, τὸ χρυσωθησόμενον. |
| Μέσ. ἀόρ. | Ὁ χρυσωσάμενος, ἡ χρυσωσαμένη, τὸ χρυσωσάμενον. |
| Μέσ. μέλ. | Ὁ χρυσωσόμενος, ἡ χρυσωσομένη, τὸ χρυσωσόμενον. |

## Τύπος τῶν εἰς μι.

Συζυγία τῶν εἰς μι ἐςὶν ἡ ἀεὶ τῷ υ ψιλῷ παραλήγουσα ἔντε τοῖς Ἐνεργητικοῖς, καὶ Παθητικοῖς, καὶ εἰς ῦναι τὸ Ἀπαρέμφατον σχηματίζουσα.

### Ὁρισικὰ Ἐνεργητικά.

Ἐνεςώς. Ζεύγνυμι, ζεύγνυς, ζεύγνυσι.
Ζεύγνυμεν, ζεύγνυτε, ζευγνύουσι.
Παρατ. Ἐζεύγνυν, ἐζεύγνυς, ἐζεύγνυ.
Ἐζεύγνυμεν, ἐζεύγνυτε, ἐζεύγνυσαν.

### Προςακτικά.

Ἐνεςώς. Ζεύγνυ, ζευγνύτω.
Ἀπερέμφατον, Ζευγνῦναι.

### Μετοχή.

Ἐνεςώς. Ὁ ζευγνὺς, ἡ ζευγνῦσα, τὸ ζευγνύν.

### Ὁρισικὰ Παθητικά.

Ἐνεςώς. Ζεύγνυμαι, ζεύγνυσαι, ζεύγνυται.
Ζευγνύμεθα, ζεύγνυσθε, ζεύγνυνται.
Παρατ. Ἐζευγνύμην, ἐξεύγνυσο, ἐζεύγνυτο.
Ἐζευγνύμεθα, ἐζεύγνυσθε, ἐζεύγνυντο.

Προςακτικὸν, Ἐνεςὼς, Ζεύγνυσο, ζευγνύσθω.
Ἀπαρέμφατον, Ἐνεςὼς, Ζεύγνυσθαι.
Μετοχὴ, Ὁ ζευγνύμενος, ἡ ζευγνυμένη, τὸ ζευγνύμενον.

## Πρόθεσις.

Τῶν Προθέσεων αἱ μὲν μονοσύλλαβοι ἓξ· οἷον, Ἐν, Εἰς, Ἐκ, Σὺν, Πρὸς, Πρό. αἱ δὲ δισσύλλαβοι, δώδεκα· οἷον, Ἀνὰ, Κατὰ, Διὰ, Μετὰ, Παρὰ, Ἀντὶ, Ἐπὶ, Περὶ, Ἀμφὶ, Ἀπὸ, Ὑπὸ, Ὑπέρ.

## Ἐπίῤῥημα.

Τῶν Ἐπιῤῥημάτων, τὰ μὲν καλοῦνται Χρόνου· οἷον, τότε, αὖθις, σήμερον, αὔριον, χθὲς, ἀεί.
Τὰ δὲ, Τόπου· ἄνω, κάτω, ἔξω, μακράν.
Τὰ δὲ, Ποσότητος· ἅπαξ, δὶς, τρὶς, πολλάκις.
Τὰ δὲ, Ποιότητος· εὖ, καλῶς, κυνηδὸν, ἀγεληδόν.
Τὰ δὲ, Ἀθροίσεως· ὁμοῦ ἀθρόως.
Τὰ δὲ, Παρακελεύσεως· ἄγε, φέρε, δεῦτε.
Τὰ δὲ, Ἐξαιρέσεως· πλήν.
Τὰ δὲ, Τάξεως· ἑξῆς, ἐφεξῆς.
Τὰ δὲ, Ὁμοιώσεως· ὡς, ὥσπερ, καθάπερ.
Τὰ δὲ, Ἀποφάσεως· ὧςε.
Τὰ δὲ, Συγκρίσεως· μᾶλλον, ἧττον.
Τὰ δὲ, Ἐξηγήσεως· δηλονότι, οἷον, ἤγουν.
Τὰ δὲ, Ἀποτρεπτικά· Ἡράκλεις, Ἄπολλον.
Τὰ δὲ, Ἐθνικά· Ἑλληνιστὶ, Ῥωμαϊσί.
Τὰ δὲ, Βιασμοῦ· μόλις, μόγις.
Τὰ δὲ, Δισάσεως· σχεδὸν, ἴσως, τυχόν.
Τὰ δὲ, Ὀργανικα· ὀδὰξ, λὰξ, πὺξ.
Τὰ δὲ, Ἐπιτατικά· λίαν, ἄγαν, μάλισα.
Τὰ δὲ, Καταφάσεως· ναί.

Τὰ δὲ, Ὀμοτικά· νὴ, μά.
Τὰ δὲ, Ἀρνήσεως· οὔ.
Τὰ δὲ, Ἀπαγορεύσεως· μή.
Τὰ δὲ, Ἐρωτήσεως· ποῦ; πῶς; πότε;
Τὰ δὲ, Δείξεως· ἰδού.
Τὰ δὲ, Διαιρέσεως· ἄνευ, χωρὶς, διχῆ.
Τὰ δὲ, Θέσεως· ἀναγνωςέον, γραπτέον.
Τὰ δὲ, Κλήσεως· ὦ.
Τὰ δὲ, Σχετλιασμοῦ. ὢ, ἰοὺ, φεῦ, βαβαί.
Τὰ δὲ, Εὐχῆς· εἴθε, ὄφελον.

## Σύνδεσμος.

Τῶν δὲ Συνδέσμων, οἱ μὲν καλοῦνται Συμπλεκτικοί· οἷον, μὲν, δὲ, τὲ, καὶ, ἀλλά.
Οἱ δὲ, Διαζευκτικοί· ἢ, ἤτοι.
Οἱ δὲ, Συναπτικοί· εἰ, εἴπερ.
Οἱ δὲ, Παρασυναπτικοί· ἐπεὶ, ἐπειδή.
Οἱ δὲ, Αἰτιολογικοί· ἕνεκα, ὅτι, διότι.
Οἱ δὲ, Ἀποτελεςικοί· ἵνα, ὅπως.
Οἱ δὲ, Ἀπορηματικοί· ἆρα, εἶτα, μῶν, μή.
Οἱ δὲ, Συλλογιςικοί· ἀλλαμὴν, τοίνυν, τοιγαροῦν.
Οἱ δὲ, Παραπληρωματικοί· περ, πω, μὴν, γε.
Οἱ δὲ, Δυνητικοί· ἄν.
Οἱ δὲ, Διςακτικοί· ἐὰν, ἂν, ἤν.
Οἱ δὲ, Ἐναντιωματικοί· ὅμως, καίτοι.
Οἱ δὲ, Μειωτικοί· γοῦν, γε.

---

Τὰ δὲ ἑξῆς εἰς μι ῥήματα, ἅτε δὴ ἰδιοσχημάτιςα ὄντα, ὡς ἀνώμαλα κείσθωσαν.

Ὁριστικά.

Ἐνεστώς. Εἰμὶ, εἶ, ἐστί. Ἐσμὲν, ἐστὲ, εἰσί.
Παρατ. Ἦν, ἦς, ἦ καὶ ἦν. Ἦμεν, ἦτε, ἦσαν.
Ὑπερσ. Ἤμην, ἦσο, ἦτο.
Μέλλων. Ἔσομαι, ἔσῃ, ἔσεται, καὶ ἔσται.

Προστακτικά.

Ἐνεστώς. Ἔσο, ἔστω. Ἔστε, ἔστωσαν.

Εὐκτικά.

Ἐνεστώς. Εἴην, εἴης, εἴη. Εἴημεν, εἴητε, εἴησαν καὶ εἶεν.
Μέλλων. Ἐσοίμην, ἔσοιο, ἔσοιτο.

Ὑποτακτικά.

Ἐνεστώς. Ἐὰν ὦ, ᾖς, ᾖ. Ἐὰν ὦμεν, ἦτε, ὦσι.

Ἀπαρέμφατα.

Ἐνεστώς. Εἶναι.
Μέλλων. Ἔσεσθαι.

Μετοχαί.

Ἐνεστώς. Ὁ ὢν, τοῦ ὄντος. Ἡ οὖσα, τῆς οὔσης. Τὸ ὂν, τοῦ ὄντος.
Μέλλων. Ὁ ἐσόμενος. Ἡ ἐσομένη. Τὸ ἐσόμενον.

---

Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεστώς. Τίθημι, τίθης, τίθησι. Τίθεμεν, τίθετε, τιθέασι.

| | | |
|---|---|---|
| Παρατ. | Ε'τίθουν, ἐτίθεις, ἐτίθει. Ε'τίθεμεν, ἐτίθετε, ἐτίθεσαν. | |
| Α'όρ. β'. | Ε"θηκα, ἔθηκας, ἔθηκε. Ε"θημεν, ἔθητε, ἔθεσαν. | |
| Παρακ. | Τέθεικα, | ὡς Πεποίηκα. |
| Υ'περσ. | Ε'τεθείκειν, | ὡς Ε'πεποιήκειν. |
| Α'όριςος. | Ε"θηκα, | ὡς Ε'ποίησα. |
| Μέλλων. | Θήσω, | ὡς Ποιήσω. |

Προςακτικά.

Ε'νεςώς. Τίθει, τιθέτω. Τίθετε, τιθέτωσαν.
Α'όρ. β'. Θὲς, θέτω. Θέτε, θέτωσαν· Οἱ δὲ λοιποὶ χρόνοι ἐπὶ τῶν Περισπωμένων.

Εὐκτικά.

Ε'νεςώς. Τιθείην, τιθείης, τιθείη. Τιθείημεν, τιθείητε, τιθείησαν καὶ τιθεῖεν.
Α'όρ. β'. Θείην, θείης, θείη. Θείημεν, θείητε, θεῖεν.

Υ'ποτακτικά.

Ε'νεςώς. Ε'ὰν τιθῶ, τιθῇς, τιθῇ. Ε'ὰν τιθῶμεν, τιθῆτε, τιθῶσι.
Α'όρ. β'. Ε'ὰν θῶ, θῇς, θῇ. Ε'ὰν θῶμεν, θῆτε, θῶσι.

Α'παρέμφατα.

Ε'νεςώς. Τιθέναι.
Α'όριςος β'. Θεῖναι.

## Μετοχαί.

| | |
|---|---|
| Ἐνεςώς. | Ὁ τιθείς. Ἡ τιθεῖσα. Τὸ τιθέν. |
| Παρακ. | Ὁ τεθεικώς. Ἡ τεθεικῦα. Τὸ τεθεικός. |
| Ἀόριςος. | Ὁ θείς. Ἡ θεῖσα. Τὸ θέν. |

## Ὁριςικὰ Παθητικά.

| | |
|---|---|
| Ἐνεςώς. | Τίθεμαι, τίθεσαι, τίθεται. Τιθέμεθα, τίθεσθε, τίθενται. |
| Παρατ. | Ἐτιθέμην, ἐτίθου, ἐτίθετο. Ἐτιθέμεθα, ἐτίθεσθε, ἐτίθεντο. |
| Μέσ. ἀόρ. β΄. | Ἐθέμην, ἔθου, ἔθετο. Ἐθέμεθα, ἔθεσθε, ἔθεντο. |

Οἱ δὲ λοιποὶ ἐπὶ τῶν Περισπωμένων.

## Προςακτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Τίθου, τιθέσθω. Τίθεσθε, τιθέσθωσαν. |
| Ἀόρ. β΄. | Θοῦ, θέσθω. |

## Εὐκτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Τιθείμην, τιθεῖο, τιθεῖτο. Τιθείμεθα, τιθεῖσθε, τιθεῖντο. |
| Μέσ. ἀόρ. β΄. | Θείμην, θεῖο, θεῖτο. |
| Ἀττικῶς. | Θοίμην, θοῖο, θοῖτο. |

## Ὑποτακτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ἐὰν τιθῶμαι, τιθῇ, τιθῆται. Ἐὰν τιθώμεθα, τιθῆσθε, τιθῶνται. |
| Μέσ. ἀόρ. β΄. | Ἐὰν θῶμαι, θῇ, θῆται. |

Ἀπαρέμφατα.

| | |
|---|---|
| Ἐνεςώς. | Τίθεσθαι. |
| Μέσ. ἀόρ. β'. | Θέσθαι. |

Μετοχαί.

| | |
|---|---|
| Ἐνεςώς. | Ὁ τιθέμενος. Ἡ τιθεμένη. Τὸ τιθέμενον |
| Μέσ. ἀόρ. | Ὁ θέμενος. Ἡ θεμένη. Τὸ θέμενον. |

---

Ὁριςικὰ Ἐνεργητικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ἵςημι, ἵςης, ἵςησι. Ἵςαμεν, ἵςατε, ἱςᾶσι. |
| Παρατ. | Ἵςων, ἵςας, ἵςα· καὶ τροπῇ ἵςης, ἵςη. Ἵςαμεν, ἵςατε, ἵςασαν. |
| Παρακ. | Ἕςηκα, ἕςηκας, ἕςηκε. Ἑςήκαμεν, ἑςήκατε, ἑςήκασι, καὶ ἑςᾶσι. |
| Ὑπερσ. | Εἱςήκειν, εἱςήκεις, εἱςήκει. |
| Ἀόρ. β'. | Ἔςην, ἔςης, ἔςη. Ἔςημεν, ἔςητε, ἔςησαν. |

Προςακτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ἵςα καὶ τροπῇ, ἵςη, ἱςάτω. Ἵςατε, ἱςάτωσαν. |
| Ἀόριςος β'. | Στῆθι, ςήτω. Στῆτε, ςήτωσαν. |

Εὐκτικά.

| | |
|---|---|
| Ἐνεςώς. | Ἱςαίην, ἱςαίης, ἱςαίη. Ἱςαίημεν ἱςαίητε, ἱςαίησαν καὶ ἱςαῖεν. |
| Ἀόριςος β'. | Σταίην, ςαίης, ςαίη. |

### Ὑποτακτικά.

Ἐνεςώς. Ἐὰν ἱςῶ, ἱςᾷς, ἱςᾷ. Ἐὰν ἱςῶμεν, ἱςᾶτε, ἱςῶσι.

Ἀόρ. β΄. Ἐὰν ςῶ, ςῇς, ςῇ.

### Ἀπαρέμφατα.

Ἐνεςώς. Ἱςάναι.

Παρακείμενος. Ἑςάναι.

Ἀόριςος β΄. Στῆναι.

### Μετοχαί.

Ἐνεςώς. Ὁ ἱςάς. Ἡ ἱςᾶσα. Τὸ ἱςάν.

Παρακ. Ὁ ἑςώς. Ἡ ἑςῶσα. Τὸ ἑςώς.

Ἀόρ. β΄. Ὁ ςάς. Ἡ ςᾶσα. Τὸ ςάν.

### Ὁριςικὰ Παθητικά.

Ἐνεςώς. Ἵςαμαι, ἵςασαι, ἵςαται. Ἱςάμεθα, ἵςασθε, ἵςανται.

Παρατ. Ἱςάμην, ἵςω, ἵςατο. Ἱςάμεθα, ἵςασθε, ἵςαντο.

### Προςακτικά.

Ἐνεςώς. Ἵςω, ἱςάσθω. Ἵςασθε, ἱςάσθωσαν.

### Εὐκτικά.

Ἐνεςώς. Ἱςαίμην, ἱςαῖο, ἱςαῖτο. Ἱςαίμεθα, ἱςαῖσθε, ἱςαῖντο.

### Ὑποτακτικά.

Ἐνεςώς. Ἐὰν ἱςῶμαι, ἱςᾷ, ἱςᾶται· καὶ τρο-

πῆ, ἱςῆ, ἱςῆται. Ἐὰν ἱςώμεθα, ἱςᾶσθε, ἱςῶνται.

## Ἀπαρέμφατα.

Ἐνεςώς. Ἵςασθαι.

## Μετοχαί.

Ὁ Ἱςάμενος. Ἡ Ἱςαμένη. Τὸ Ἱςάμενον.

Ἐνταῦθα σχηματισθήσονται καὶ ταῦτα· οἷον, Δύναμαι, ἐπίςαμαι, Πίμπλαμαι, Πίμπραμαι, Πρίαμαι, Ἵπτταμαι, Ὄναμαι, Ἄγαμαι.

---

## Ὁριςικὰ Ἐνεργητικά.

Ἐνεςώς. Δίδωμι, δίδως, δίδωσι. Δίδομεν, δίδοτε, διδόασι.

Παρατ. Ἐδίδουν, ἐδίδους, ἐδίδου. Ἐδίδομεν, ἐδίδοτε, ἐδίδοσαν.

Ἀόρ. β΄. Ἔδωκα, ἔδωκας, ἔδωκε. Ἔδομεν, ἔδοτε, ἔδοσαν.

## Προςακτικά.

Ἐνεςώς. Δίδου, διδότω. Δίδοτε, διδότωσαν.

Ἀόρ. β΄. Δὸς, δότω. Δότε, δότωσαν.

## Εὐκτικά.

Ἐνεςώς. Διδοίην, διδοίης, διδοίη. Διδοῖμεν, διδοῖτε, διδοῖεν.

Ἀόρ. β΄. Δοίην, δοίης, δοίη.

Ἀττικῶς. Δῴην, δῴης, δῴη.

Υ῾ποτακτικά.

| | |
|---|---|
| Ε᾿νεςώς. | Ε᾿ὰν διδῶ, διδῷς, διδῷ. Ε᾿ὰν διδῶμεν, διδῶτε, διδῶσι. |
| Α᾿όριςος. | Ε᾿ὰν δῶ, δῷς, δῷ. |

Α᾿παρέμφατα.

| | |
|---|---|
| Ε᾿νεςώς. | Διδόναι. |
| Α᾿όριςος β'. | Δοῦναι. |

Μετοχαί.

| | |
|---|---|
| Ε᾿νεςώς. | Ο῾ διδούς. Η῾ διδοῦσα. Τὸ διδόν. |
| Α᾿όρ. β'. | Ο῾ δούς. Η῾ δοῦσα. Τὸ δόν. |

Ο῾ρισικὰ Παθητικά.

| | |
|---|---|
| Ε᾿νεςώς. | Δίδομαι, δίδοσαι, δίδοται. Διδόμεθα, δίδοσθε, δίδονται. |
| Παρατ. | Ε᾿διδόμην, ἐδίδου, ἐδίδοτο. Ε᾿διδόμεθα, ἐδίδοσθε, ἐδίδοντο. |
| Μέσ. ἀόρ. β'. | Ε᾿δόμην, ἔδου, ἔδοτο. |

Προςακτικά.

| | |
|---|---|
| Ε᾿νεςώς. | Διδοῦ, διδόσθω. Δίδοσθε, διδόσθωσαν. |
| Μέσ. ἀόρ. β'. | Δοῦ, δόσθω. |

Εὐκτικά.

| | |
|---|---|
| Ε᾿νεςώς. | Διδοίμην, διδοῖο, διδοῖτο. Διδοίμεθα, διδοῖσθε, διδοῖντο. |
| Μέσ. ἀόρ. β'. | Δοίμην, δοῖο, δοῖτο. |

Ὑποτακτικά.

| | |
|---|---|
| Ἐνεστώς. | Ἐὰν διδῶμαι, διδῷ, διδῶται. Ἐὰν διδώμεθα, διδῶσθε, διδῶνται. |
| Μέσ. ἀόρ. β΄. | Ἐὰν δῶμαι, δῷ, δῶται. |

Ἀπαρέμφατα.

| | |
|---|---|
| Ἐνεστώς. | Δίδοσθαι. |
| Μέσ. ἀόρ. β΄. | Δόσθαι. |

Μετοχαί.

| | |
|---|---|
| Ἐνεστώς. | Ὁ διδόμενος. Ἡ διδομένη. Τὸ διδόμενον |
| Μέσ. ἀόρ. β΄. | Ὁ δόμενος. Ἡ δομένη. Τὸ δόμενον. |

Σχηματισμὸς τοῦ Εἶμι ῥήματος τοῦ Πορεύομαι.

| | |
|---|---|
| Ἐνεστώς. | Εἶμι, εἶς, εἶσι. Ἴμεν, ἴτε, ἴσι, καὶ ἴασι. |
| Παρατ. | Ἤειν, ἤεις, ἤει. Ἤειμεν, ἤειτε, ἤεισαν κοινῶς καὶ ἤεσαν ἀττικῶς. |
| Ἀόριστος. | Ἴον, ἴες, ἴε. Ἴομεν, ἴετε, ἴον· ἄχρηστα πάντα. |

Προστακτικόν.

| | |
|---|---|
| Ἀόριστος β΄. | Ἴε, ἰέτω. Ἴετε, ἰέτωσαν. |
| Ὁ αὐτός. | Ἴθι, ἴτω. Ἴτε, ἴτωσαν. |

Εὐκτικά.

| | |
|---|---|
| Ἀόριστος β΄. | Ἴοιμι, ἴοις, ἴοι. Ἴοιμεν, ἴοιτε, ἴοιεν. |

Ὑποτακτικά.

| | |
|---|---|
| Ἀόριστος β΄. | Ἐὰν ἴω, ἴῃς, ἴῃ. Ἐὰν ἴωμεν, ἴητε, ἴωσι. |

### Ἀπαρέμφατα.

Ἀόριςος β΄. Ἱέναι.

### Μετοχή.

Ἀόριςος β΄. Ὁ ἰών. Ἡ ἰοῦσα. Τὸ ἰόν.

## Σχηματισμὸς τοῦ Ἧμι τοῦ, Πέμπω.

### Ὁρισικὰ Ἐνεργητικά.

Ἐνεςώς. Ἵημι, ἵης, ἵησι. Ἵεμεν, ἵετε, ἱᾶσιν.
Παρατατ. Ἵην, ἵης, ἵη. Ἵεμεν, ἵετε, ἵεσαν.
Παρακ. Εἶκα, εἶκας, εἶκε. Εἵκαμεν, εἵκατε, εἵκασι.
Ὑπερσ. Εἵκειν, εἵκεις, εἵκει. Εἵκειμεν, εἵκειτε, εἵκεισαν.
Ἀόριςος ά. Ἧκα, ἧκας, ἧκε. Ἥκαμεν, ἥκατε, ἧκαν.
Ἀττικῶς. Ἕηκα, ἕηκας, ἕηκε.
Ἀόριςος β΄. Ἧν, ἧς, ἧ. Ἕμεν, ἕτε, ἕσαν.
Μέλλων. Ἥσω, ἥσεις, ἥσει. Ἥσομεν, ἥσετε, ἥσουσι.

### Προςακτικά.

Ἐνεςώς. Ἵεθι, ἱέτω. Ἵετε, ἱέτωσαν.
Παρακ. Εἶκε, εἰκέτω. Εἵκετε, εἰκέτωσαν.
Ἀόριςος β΄. Ἕς, ἕτω. Ἕτε, ἕτωσαν.

### Εὐκτικά.

Ἐνεςώς. Ἱείην, ἱείης, ἱείη. Ἱείημεν, Ἱείητε, Ἱείησαν, καὶ Ἱεῖεν.

| | |
|---|---|
| Παρακ. | Εἴκοιμι, εἴκοις, εἴκοι. Εἴκοιμεν, Εἴκοιτε, Εἴκοιεν. |
| Α'όριςος β'. | Εἵην, εἵης, εἵη. Εἵημεν, εἵητε, εἵησαν καὶ εἷεν. |
| Μέλλων. | Ἥσοιμι, ἥσοις, ἥσοι. Ἥσοιμεν, ἥσοιτε, ἥσοιεν. |

## Ὑποτακτικά.

| | |
|---|---|
| Ε'νεςώς. | Ε'ὰν ἱῶ, ἱῇς, ἱῇ. Ε'ὰν ἱῶμεν, ἱῆτε, ἱῶσι. |
| Παρακ. | Ε'ὰν εἵκω, εἵκῃς, εἵκῃ. Ε'ὰν εἵκωμεν, εἵκητε, εἵκωσι. |
| Α'όριςος β'. | Ε'ὰν ὧ, ἧς, ἧ. Ε'ὰν ὧμεν, ἧτε, ὧσι. |

## Α'παρέμφατα.

| | |
|---|---|
| Ε'νεςώς. | Ἱέναι. |
| Παρακείμενος. | Εἱκέναι. |
| Α'όριςος β': | Εἷναι· ὅθεν ἀφεῖναι, καθεῖναι. |
| Μέλλων. | Ἥσειν. |

## Μετοχαί.

| | |
|---|---|
| Ε'νεςώς. | Ο῾ ἱείς. Η῾ ἱεῖσα. Τὸ ἱέν. |
| Παρατ. | Ο῾ εἱκώς. Η῾ εἱκεῖα. Τὸ εἱκός. |
| Α'όριςος β'. | Ο῾ εἵς. Η῾ εἷσα. Τὸ ἕν. |
| Μέλλων. | Ο῾ ἥσων. Η῾ ἥσουσα. Τὸ ἧσον. |

## Ο῾ριςικὰ Παθητικά.

| | |
|---|---|
| Ε'νεςώς. | Ἵεμαι, ἵεσαι, ἵεται. Ι῾έμεθα, ἵεσθε, ἵενται. |
| Παρατ. | Ι῾έμην, ἵου, ἵετο. Ι῾έμεθα, ἵεσθε, ἵεντο. |

| | |
|---|---|
| Παρακ. | Εἶμαι, εἶσαι, εἶται. Εἴμεθα, εἶσθε, εἶνται. |
| Μετ' ὀλ. μέλ. | Εἴσομαι, εἴσῃ, εἴσεται. Εἰσόμεθα, εἴσεσθε, εἴσονται. |
| Ὑπερσ. | Εἵμην, εἶσο, εἶτο. Εἵμεθα, εἶσθε, εἶντο. |
| Ἀόριϛος β'. | Ἕθην, ἕθης, ἕθη. Ἕθημεν, ἕθητε, ἕθησαν· καὶ Πλεονασμῷ τοῦ ι. εἵθην. |
| Μέλλων ά. | Ἑθήσομαι, ἑθήσῃ, ἑθήσεται. |
| Μέσ. ἀόρ. ά. | Ἡκάμην, ἧκω, ἧκατο. |
| Μέσ. ἀόρ. β'. | Ἕμην, ἕσω, ἕτο. |
| Μέλλων. | Ἥσομαι, ἥσῃ, ἥσεται. |

### Προϛακτικά.

| | |
|---|---|
| Ἐνεϛώς. | Ἴου, ἱέσθω. Ἵεσθε, ἱέσθωσαν. |
| Παρακ. | Εἶσο, εἴσθω. Εἶσθε, εἴσθωσαν. |
| Ἀόριϛος ά. | Ἕθητι, ἑθήτω. Ἕθητε, ἑθήτωσαν. |
| Μέσ. ἀόρ. | Ἧκαι, ἡκάσθω. Ἥκασθε, ἡκάσθωσαν. |
| Μέσ. ἀόρ. β'. | Ἕσο, ἕσθω. Ἕσθε, ἕσθωσαν. |

### Εὐκτικά.

| | |
|---|---|
| Ἐνεϛώς. | Ἱείμην, ἱεῖο, ἱεῖτο. Ἱείμεθα, ἱεῖσθε, ἱεῖντο. |
| Παρακ. | Εἵμην, εἶο, εἶτο. Εἵμεθα, εἶσθε, εἶντο. |
| Μετ' ὀλ. μέλ. | Εἰσοίμην, εἴσοιο, εἴσοιτο. Εἰσοίμεθα, εἴσοισθε, εἴσοιντο. |
| Ἀόριϛος ά. | Ἑθείην, ἑθείης, ἑθείη. |
| Μέλλων. | Ἑθησοίμην, ἑθήσοιο, ἑθήσοιτο. |

### Ὑποτακτικά.

| | |
|---|---|
| Ἐνεϛώς. | Ἐὰν ἰῶμαι, ἰῇ, ἰῆται. |

| | |
|---|---|
| Παρακ. | Ἐὰν εἵωμαι, εἵῃ, εἵηται. |
| Ἀόριςος ά. | Ἐὰν ἑθῶ, ἑθῇς, ἑθῇ. |
| Μέσ. αόρ. ά. | Ἐὰν ἥκωμαι, ἥκῃ, ἥκηται. |
| Μέσ. ἀόρ. β΄. | Ἠὰν ὧμαι, ᾗ, ἧται. |

## Ἀπαρέμφατα.

| | |
|---|---|
| Ἐνεςώς. | Ἵεσθαι. |
| Παρακείμ. | Εἷσθαι· ὅθεν ἀφεῖσθαι, καὶ ὑφεῖσθαι. |
| Μετ' ὀλ. Μέλ. | Εἵσεσθαι. |
| Ἀόριςος ά. | Ἑθῆναι. |
| Μέλλων ά. | Ἑθήσεσθαι. |
| Μέσ. αόρ. ά. | Ἥκασθαι. |
| Μέσ. ἀόρ. β΄. | Ἕσθαι· ὅθεν ἀφέσθαι· προέσθαι. |
| Μέτ' μέλ. ά. | Ἥσεσθαι. |

## Μετοχαί.

| | |
|---|---|
| Ἐνεςώς. | Ὁ ἱέμενος. Ἡ ἱεμένη. Τὸ ἱέμενον. |
| Παρακ. | Ὁ εἱμένος. Ἡ εἱμένη. Τὸ εἱμένον. |
| Μέτ' ὀλ. μέλ. | Ὁ εἱσόμενος. Ἡ εἱσομένη. Τὸ εἱσόμενον. |
| Ἀόριςος ά. | Ὁ ἑθείς. Ἡ ἑθεῖσα. Τὸ ἑθέν. |
| Μέλλων ά. | Ὁ ἑθησόμενος. Ἡ ἑθησομένη. Τὸ ἑθησόμενον. |
| Μέσ. ἀόρ. ά. | Ὁ ἡκάμενος. Ἡ ἡκαμένη. Τὸ ἡκάμενον. |
| Μέσ. ἀόρ. β΄. | Ὁ ἕμενος. Ἡ ἑμένη. Τὸ ἕμενον. |
| Μέσ. μέλ. ά. | Ὁ ἡσόμενος. Ἡ ἡσομένη. Τὸ ἡσόμενον. |

Εὕρηται δὲ καὶ Ἵημι ψιλούμενον, τὸ Πορεύομαι· κλίνεται δὲ ὁμοίως τῷ δασυνομένῳ.

## Φημὶ, τὸ λέγω. ἀπὸ τοῦ φῶ.

### Ὁριστικά.

| | |
|---|---|
| Ἐνεστώς. | Φημὶ, φὴς, φησί. Φαμὲν, φατὲ, φασί. |
| Παρατ. | Ἔφην, ἔφης, ἔφη. Ἔφαμεν, ἔφατε, ἔφασαν. |
| Ἀόριστος ά. | Ἔφησα, ἔφησας, ἔφησε. |
| Ἀόριστος β΄. | Ἔφην, ἔφης, ἔφη. Ἔφημεν, ἔφητε, ἔφησαν. |
| Μέλλων ά. | Φήσω, φήσεις, φήσει. |
| Μέσ. ἀόρ. | Ἐφάμην, ἔφασω, ἔφατο. |

### Προστακτικά.

| | |
|---|---|
| Ἐνεστώς. | Φάθι, φάτω. Φάτε, φάτωσαν. |
| Ἀόριστος β΄. | Φῆθι, φήτω. |

### Εὐκτικά.

| | |
|---|---|
| Ἐνεστὼς καὶ Παρατ. | Φαίην, φαίης, φαίη. Φαίημεν, φαίητε, φαίησαν καὶ φαῖεν. |
| Ἀόριστος ά. | Φήσαιμι, φήσαις, φήσαι. |
| Αἰολικός. | . . . . . φήσειας, φήσειε. |
| Μέλλων. | Φήσοιμι, φήσοις, φήσοι. |

### Ὑποτακτικά.

| | |
|---|---|
| Ἀόριστος ά. | Ἐὰν φήσω, φήσῃς, φήσῃ. |
| Ἀόριστος β΄. | Ἐὰν φῶ, φῇς, φῇ. |

### Ἀπαρέμφατα.

| | |
|---|---|
| Ἐνεστώς. | Φάναι. |
| Ἀόριστος ά. | Φῆσαι. |

| | |
|---|---|
| Ἀόριστος β'. | Φῆναι. |
| Μέλλων. | Φήσειν. |
| Μέσ. ἀόρ. β'. | Φάσθαι. |

Μετοχαί.

| | |
|---|---|
| Ἐνεστ. καὶ ἀόρ. β'. | Ὁ φάς. Ἡ φᾶσα. Τὸ φάν. |
| Ἀόριστος ά. | Ὁ φήσας. Ἡ φήσασα. Τὸ φῆσαν. |
| Μέλλων. | Ὁ φήσων. Ἡ φήσουσα. Τὸ φῆσον. |
| Μέσ. μέλ. β'. | Ὁ φάμενος. Ἡ φαμένη. Τὸ φάμενον. |

Οἶδα τὸ γινώσκω.

| | |
|---|---|
| Μέσ. Παρακ. ἀντὶ Ἐνεστῶτος. | Οἶδα, οἶδας καὶ οἶσθα, οἶδε. Ἴσμεν, ἴστε, ἴσασι. |
| Μέσ. Ὑπερσ. ἀντὶ Παρατ. | Ἤδειν, ᾔδεις, ᾔδει. Ἤδειμεν, ᾔδειτε, ᾔδεισαν καὶ ᾔδεσαν. |
| Μέλλων. | Εἰδήσω, εἰδήσεις, εἰδήσει. |
| Μέσ. μέλ. | Εἴσομαι, εἴσῃ, εἴσεται. |

Προστακτικά.

| | |
|---|---|
| Ἐνεστώς. | Ἴσθι, ἴστω. Ἴστε, ἴστωσαν καὶ ἴστων. |

Εὐκτικά.

| | |
|---|---|
| Ἐνεστώς. | Εἰδείην, εἰδείης, εἰδείη. Εἰδείημεν, εἰδείητε, εἰδείησαν καὶ εἰδεῖεν. |
| Μέλλων. | Εἴσοιμι, εἴσοις, εἴσοι. |
| Μέσ. μέλ. | Εἰσοίμην, εἴσοιο, εἴσοιτο. |

Ὑποτακτικά.

| | |
|---|---|
| Ἐνεστώς. | Ἐὰν εἰδῶ, εἰδῇς, εἰδῇ. |

## Ἀπαρέμφατα.

| | |
|---|---|
| Παρακ. ἀντὶ Ἐνεσ. | Εἰδέναι. |
| Μέλλων. | Εἰδήσειν. |
| Μέσ. μέλλων. | Εἴσεσθαι. |

## Μετοχαί.

| | |
|---|---|
| Παρακείμ. ἀντὶ Ἐνεσ. | Ὁ εἰδώς. Ἡ εἰδυῖα. Τὸ εἰδός. |
| Μέλλων. | Ὁ εἰδήσων. Ἡ εἰδήσουσα. Τὸ εἰδῆσον. |
| Μέσ. μέλ. | Ὁ εἰσόμενος. Ἡ εἰσομένη. Τὸ εἰσόμενον. |

## Ἕτερα Ἀνώμαλα κατὰ Ἀλφάβητον.

| | |
|---|---|
| Ἐνεσ. | Ἄγω |
| Παρατ. | ἦγον |
| Μέλ. | ἄξω |
| Παρακ. | ἀγήοχα |
| Ὑπερσ. | ἠγηόχειν. |
| Ἀόρισ. β΄. | ἤγαγον. |
| Ἐνεσ. | Αἰρῶ |
| Παρατ. | ἦρον |
| Μέλ. | αἱρήσω |
| Παρακ. | ᾕρηκα |
| Ὑπερσ. | ᾑρήκειν. |
| Ἀόρισ. β΄. | εἷλον |
| Ἐνεσ. | Αἰσθάνομαι |
| Παρατ. | ᾐσθανόμην |
| Μέλ. | αἰσθήσομαι |
| Παρακ. | ᾔσθημαι |
| Ὑπερσ. | ᾐσθήμην. |
| Ἀόρισ. | ᾐσθόμην. |
| Ἐνεσ. | Ἁλίσκω |
| Παρατ. | ἤλισκον. |
| Μέλ. | ἁλώσω |
| Παρακ. | ἑάλωκε |
| Ὑπερσ. | ἑαλώκειν |
| Ἀόρισ. β΄. | ἑάλων |
| Ἐνεσ. | Ἁμαρτάνω |
| Παρατ. | ἡμάρτανον |
| Μέλ. | ἁμαρτήσω |
| Παρακ. | ἡμάρτηκα |
| Ὑπερσ. | ἡμαρτήκειν |
| Ἀόρισ. β΄. | ἥμαρτον |

| | |
|---|---|
| Ἐνες. | Ἀναλίσκω |
| Παρατ. | ἀνήλισκον. |
| Μέλ. | ἀναλώσω |
| Παρακ. | ἀνήλωκα |
| Ὑπερσ. | ἀνηλώκειν |
| Ἀόρις. | ἀνήλωσα καὶ ἠνάλωσα καὶ ἀνάλωσα |
| Ἐνες. | Ἀναμιμνήσκω |
| Παρατ. | ἀνεμίμνησκον |
| Μέλ. | ἀναμνήσω |
| Ἀόρις. | ἀνέμνησα |
| Ἐνες. | Ἀνοίγω |
| Παρατ. | ἤνοιγον καὶ ἀνέῳγον |
| Μέλ. | ἀνοίξω |
| Παρακ. | ἀνέῳγα |
| Ἀόρις. | ἤνοιξα καὶ ἀνέῳξα |
| Ἐνες. | Ἀπεχθάνομαι |
| Παρατ. | ἀπεχθανόμην |
| Μέλ. | ἀπεχθήσομαι |
| Παρακ. | ἀπήχθημαι |
| Ἀόρις. β΄. | ἀπηχθόμην |
| Ἐνες. | Ἀρέσκω |
| Παρατ. | ἤρεσκον |
| Μέλ. | ἀρέσω καὶ τλ. |
| Ἐνες. | ἄχθομαι |
| Παρατ. | ἠχθόμην |
| Μέλ. | ἀχθεσθήσομαι |
| Ἀόρις. β΄. | ἠχθέσθην |
| Ἐνες. | Βάλλω |
| Παρατ. | ἔβαλλον. |
| Μέλ. | βαλῶ |
| Παρακ. | βέβληκα |
| Ὑπερσ. | ἐβεβλήκειν. |
| Ἀόρις. β΄. | ἔβαλον |
| Ἐνες. | Βαίνω |
| Παρατ. | ἔβαινον |
| Μέλ. | βήσομαι |
| Παρακ. | βέβηκα |
| Ὑπερσ. | ἐβεβήκειν |
| Ἀόρις. β΄. | ἔβην |
| Ἐνες. | Βούλομαι |
| Παρατ. | ἐβουλόμην |
| Μέλ. | βουλήσομαι |
| Ἐνες. | Βιβρώσκω |
| Παρατ. | ἐβίβρωσκον |
| Μέλ. | βρώσω |
| Παρακ. | βέβρωκα. |
| Ὑπερσ. | ἐβεβρώκειν |
| Ἐνες. | Βόσκω |
| Παρατ. | ἔβοσκον |
| Μέλ. | βοσκήσω |
| Ἐνες. | Γαμῶ |
| Παρατ. | ἐγάμουν |
| Μέλ. | γαμήσω |
| Παρακ. | γεγάμηκα |
| Ὑπερσ. | ἐγεγαμήκειν |
| Ἀόρις. | ἔγημα |

| | |
|---|---|
| Ἐνες. | Γήθω |
| Παρατ. | ἔγηθον |
| Μέλ. | γηθήσω |
| Παρακ. | γέγηθα |
| Ὑπερσ. | ἐγεγήθειν |
| Ἀόρις. | ἐγήθησα |
| Ἐνες. | Γηράσκω |
| Παρατ. | ἐγήρασκον |
| Μέλ. | γηράσω |
| Ἐνες. | Γίνομαι |
| Παρατ. | ἐγινόμην |
| Μέλ. | γενήσομαι |
| Παρακ. | γεγένημαι καὶ γέγονα |
| Ὑπερσ. | ἐγεγενήμην ϗ ἐγεγόνειν |
| Ἀόρις. | ἐγενόμην |
| Ἐνες. | Γινώσκω |
| Παρατ. | ἐγίνωσκον |
| Μέλ. | γνώσομαι |
| Παρακ. | ἔγνωκα. |
| Ὑπερσ. | ἐγνώκειν. |
| Ἀόρις. β΄. | ἔγνων |
| Ἐνες. | Δάκνω |
| Παρατ. | ἔδακνον |
| Μέλ. | δείξω |
| Παρακ. | δέδηχα |
| Ὑπερσ. | ἐδεδήχειν |
| Ἀόρις. β΄. | ἔδακον |
| Ἐνες. | Δεδίττομαι |
| Παρατ. | ἐδεδιττόμην |
| Μέλ. | δείσω |
| Παρακ. | δέδοικα καὶ δέδια |
| Ἀόρις. | ἔδεισα |
| Ἐνες. | Δέω |
| Παρατ. | ἔδεον |
| Μέλ. | δήσω |
| Ἀόρις. | ἔδησα |
| Ἐνες. | Δέομαι |
| Παρατ. | ἐδεόμην |
| Μέλ. | δεήσομαι |
| Παρακ. | δεδέημαι |
| Ἐνες. | Διδράσκω |
| Παρατ. | ἐδίδρασκον |
| Μέλ. | δράσω |
| Παρακ. | δέδρακα |
| Ὑπερσ. | ἐδεδράκειν |
| Ἀόρις. | ἔδρα ἐπὶ τρίτου προσώπου |
| Ἐνες. | Δοκῶ |
| Παρατ. | ἐδόκουν |
| Μέλ. | δόξω |
| Παρακ. | δέδοκται |
| Ὑπερσ. | ἐδέδοκτο |
| Ἀόρις. | ἔδοξα |
| Ἐνες. | Ἔθω ἄχρηστον |
| Παρακ. | εἴωθα |
| Ὑπερσ. | εἰώθειν |
| Ἐνες. | Εἴδω ἄχρηστον] |

Ἀόρις. β΄. εἶδον
Ἐνες. Ἔπω ἄχρηςον
Ἀόρις. β΄. εἶπον
Προς. εἰπὲ εἰπάτω.
Ἐνες. Εἴρω ἄχρηςον
Μέλ. ἐρῶ
Παρακ. εἴρηκα
Ὑπερσ. εἰρήκειν.
Παθ. εἴρηται, εἴρητο, ἐῤῥέθη, ῥηθήσεται ἀπροσώπως
Ἐνες. Ἐλαύνω
Παρατ. ἤλαυνον
Μέλ. ἐλάσω
Παρακ. ἤλακα
Ὑπερσ. ἠλάκειν
Ἀόρις. ἤλασα
Ἐνες. Ἔοικα
Παρατ. ἐῴκειν ἐκ τοῦ εἴκω ἀχρήςου
Ἐνες. Ἔρομαι
Παρατ. ἠρόμην
Μέλ. ἐρήσομαι
Μέσ. ἀόρ. ἠρόμην
Ἐνες. Ἐρῶ
Παρατ. ἤρων
Μέλ. ἐρασθήσομαι
Ἀόρις. ἠράσθην
Ἐνες. Ἔῤῥω, ἔῤῥεις, ἔῤῥει καὶ πλέον οὔ.
Προςακ. ἔῤῥε ἐῤῥέτω
Ἐνες. Ἐρυγκάνω
Παρατ. ἠρύγκανον
Μέλ. ἐρεύξομαι
Μέσ. ἀόρ. ἠρευξάμην
Ἐνες. Ἔρχομαι
Παρατ. ἠρχόμην.
Μέλ. ἐλεύσομαι
Παρακ. ἐλήλυθα
Ὑπερσ. ἐληλύθειν
Ἀόρις. β΄. ἦλθον
Ἐνες. Εὑρίσκω
Παρατ. εὕρισκον,
Μέλ. εὑρήσω
Παρακ. εὕρηκα
Ὑπερσ. εὑρήκειν
Ἀόρις. β΄. εὗρον
Ἐνες. Ἔχω
Παρατ. εἶχον
Μέλ. ἕξω
Παρακ. ἔσχηκα
Ὑπερσ. ἐσχήκειν
Ἀόρις. β΄. ἔσχον
Προςακτ. σχὲς σχέτω
Εὐκτικ. σχοίην
Ἐνες. Ζέω, ζέεις, ζέει ζεῖ

| | |
|---|---|
| Παρατ. | ἔζεον, ἔζεες, ἔζεε ἔζει |
| Μέλ. | ζήσω καὶ τὰ λοιπὰ |
| Ἐνες. | Θιγγάνω καὶ θίγω |
| Μέλ. | θίξω ϗ τὰ λοιπά |
| Ἐνες. | Θνήσκω |
| Παρατ. | ἔθνησκον |
| Μέλ. | θανοῦμαι |
| Παρακ. | τέθνηκα |
| καὶ δεύτερ. | τέθναα |
| Ὑπερσ. | ἐτεθνήκειν |
| Ἀόρις. β΄. | ἔθανον |
| Μετ. μέλ. | τεθνήξομαι |
| Εὐκτικ. | τεθναίην |
| Ἀπαρ. | τεθνάναι |
| Μετ. | τεθνεὼς |
| Ἐνες. | Ἱκνοῦμαι |
| Παρατ. | ἱκνούμην |
| Μέλ. | ἵξομαι |
| Παρακ. | ἶγμαι |
| Ὑπερσ. | ἵγμην |
| Μέσ. ἀόρ. | ἱκόμην |
| Ἐνες. | Ἱλάσκομαι |
| Παρατ. | ἱλασκόμην |
| Μέλ. | ἱλάσομαι |
| Παρακ. | ἵλασμαι |
| Ὑπερσ. | ἱλάσμην |

| | |
|---|---|
| Μέσ. ἀόρ. | ἱλασάμην |
| Ἀόρις. | ἱλάσθην |
| Ἐνες. | Καθέζομαι |
| Παρατ. | ἐκαθεζόμην |
| Μέλ. | καθεδήσομαι |
| . . . . | καὶ καθεδοῦμαι |
| . . . . | καὶ καθεσθήσωμαι |
| Ἀόρις. | ἐκαθέσθην |
| Ἐνες. | Κάθημαι |
| Παρατ. | ἐκαθήμην ϗ γ΄. |
| προσωπ. | καθῆσο |
| Ἀπαρεμ. | καθῆσθαι |
| Ἐνες. | Καίω |
| Παρατ. | ἔκαιον |
| Μέλ. | καύσω |
| Ἀόρις. | ἔκαυσα |
| Ἐνες. | Καλῶ |
| Παρατ. | ἐκάλουν |
| Μέλ. | καλέσω |
| Παρακ. | κέκληκα |
| Ὑπερσ. | ἐκεκλήκειν |
| Ἀόρις. | ἐκάλεσα |
| Ἐνες. | Κάμνω |
| Παρατ. | ἔκαμνον |
| Μέλ. | καμῶ |
| Παρακ. | κέκμηκα |
| Ὑπερσ. | ἐκεκμήκειν |
| Ἀόρις. β΄. | ἔκαμον |
| Ἐνες. | Κατάγω ἄχρ. |

| | |
|---|---|
| Παρακ. | κατέαγα |
| Ὑπερσ. | κατεάγειν |
| Ἀόρις. | κατέαξα |
| Παθητ. | κατεάγην |
| Ἐνες. | Κεῖμαι |
| Παρατ. | ἐκείμην |
| Μέλ. | κείσομαι |
| Προστακτ. | κεῖσο κείσθω |
| Εὐτικ. | κεοίμην, κέοιο, κέοιτο |
| Ὑποτακ. | ἐὰν κέημαι, κέῃ κέηται. |
| Ἀπαρέμ. | κεῖσθαι |
| Μετοχ. | ὁ κείμενος |
| Ἐνες. | Κερδαίνω |
| Παρατ. | ἐκέρδαινον |
| Μέλ. | κερδανῶ, καὶ κερδήσω |
| Παρακ. | κεκέρδηκα |
| Ὑπερσ. | ἐκεκερδήκειν |
| Ἀόρις. | ἐκέρδησα καὶ ἐκέρδανα |
| Ἐνες. | Κλαίω |
| Παρατ. | ἔκλαιον |
| Μέλ. | κλαύσω |
| Παρακ. | κέκλαυκα |
| Ἐνες. | Κύω |
| Παρατ. | ἔκυον |
| Μέλ. | κυήσω |
| Παρακ. | κεκύηκα |

| | |
|---|---|
| Ὑπερσ. | ἐκεκυήκειν |
| Ἀόρις. | ἐκύησα |
| Ἐνες. | Λαγχάνω |
| Παρατ. | ἐλάγχανον |
| Μέλ. | κληρώσομαι |
| Παρακ. | κεκλήρωμαι |
| Ὑπερσ. | ἐκεκληρώμην |
| Ἀόρις. β΄. | ἔλαχον |
| Ἐνες. | Λαμβάνω |
| Παρατ. | ἐλάμβανον |
| Μέλ. | λήψομαι |
| Παρακ. | λέληφα καὶ εἴληφα |
| Ὑπερσ. | ἐλελήφειν καὶ εἰλήφειν |
| Ἀόρις. β΄. | ἔλαβον |
| Ἐνες. | Λανθάνω |
| Παρατ. | ἐλάνθανον |
| Μέλ. | λήσομαι |
| Παρακ. | λέληθα |
| Ὑπερσ. | ἐλελήθειν |
| Ἀόρις. β΄. | ἔλαθον |
| Ἐνες. | Μαίνομαι |
| Παρατ. | ἐμαινόμην |
| Μέλ. | μανοῦμαι |
| Παρακ. | μέμηνα |
| Ὑπερσ. | ἐμεμήνειν |
| Ἀόρις. β΄. | ἐμάνην |
| Ἐνες. | Μανθάνω |
| Παρατ. | ἐμάνθανον |

| | |
|---|---|
| Μέλ. | μαθήσομαι |
| Παρακ. | μαμάθηκα |
| Ὑπερσ. | ἐμεμαθήκειν |
| Ἀόρις. β΄. | ἔμαθον |
| Ἐνες. | Μάχομαι |
| Παρατ. | ἐμαχόμην |
| Μέλ. | μαχοῦμαι καὶ μαχήσομαι καὶ μαχέσομαι, |
| Παρακ. | μεμάχημαι |
| Ἀόρις. | ἐμαχησάμην |
| Ἐνες. | Μιγνύω |
| Παρατ. | ἐμίγνυον |
| Μέλ. | μίξω |
| Παρακ. | μέμιγα |
| Ὑπερσ. | ἐμεμίγειν |
| Ἀόρις. | ἔμιξα |
| Ἐνες. | Μιμνήσκω |
| Παρατ. | ἐμίμνησκον |
| Μέλ. | μνήσω. καὶ τλ. |
| Ἐνες. | Μοργνύω |
| Παρατ. | ἐμόργνυον |
| Μέλ. | μόρξω καὶ τλ. |
| Ἐνες. | Νέμω |
| Παρατ. | ἔνεμον |
| Μέλ. | νεμῶ |
| Παρακ. | νενέμηκα |
| Ὑπερσ. | ἐνενεμήκειν |
| Ἀόρις. | ἔνειμα |
| Ἐνες. | Ὄζω |

| | |
|---|---|
| Παρατ. | ὦζον |
| Μέλ. | ὀζέσω |
| Παρακ. | ὄδωδα |
| Ἐνες. | οἶδα; } ὅρα ἀνωτέρω τοῦ τοφύλ. 60 |
| Παρατ. | ᾔδειν; } |
| Μέλ. | εἰδήσω. } |
| Ἐνες. | Οἰδαίνω |
| Παρατ. | ᾤδαινον |
| Μέλ. | οἰδήσω |
| Παρακ. | ᾤδηκα |
| Ἐνες. | Οἰκτείρω |
| Παρατ. | ᾤκτειρον |
| Μέλ. | οἰκτειρήσω |
| Ἀόρις. | ᾤκτειρα |
| Ἐνες. | Οἴομαι ϗ οἶμαι |
| Παρατ. | ᾠόμην ϗ ᾤμην |
| Μέλ. | οἰηθήσομαι |
| Ἀόρις. | ᾠήθην |
| Ἐνες. | Οἴχομαι |
| Παρατ. | ᾠχόμην |
| Μέλ. | οἰχήσομαι |
| Ἐνες. | Ὄλλω καὶ ὀλλύω καὶ ὄλλυμι |
| Παρατ. | ὤλλουν καὶ ὤλλυον καὶ ὤλλυν |
| Μέλ. | ὠλέσω |
| Παρακ. | ὤλεκα καὶ ὄλωλα |

| | |
|---|---|
| Ὑπερσ. | ὠλέκειν καὶ ὀλώλειν |
| Ἀόρις. | ὤλεσα |
| Μέσ. ἀόρ. | ὠλόμην |
| Ἐνες. | Ὀμνύω |
| Παρατ. | ὤμνυον |
| Μέλ. | ὀμόσω |
| Παρακ. | ὤμοκα |
| Ὑπερσ. | ὠμόκειν |
| Ἀόρις. | ὤμοσα |
| Ἐνες. | Ὀπτάνομαι |
| Παρατ. | ὠπτανόμην |
| Μέλ. | ὄψομαι |
| Ἀόρις. | ὤφθην |
| Μέλ. ά. | ὀφθήσομαι |
| Ἐνες. | Ὀφείλω καὶ ὄφλω καὶ ὀφλισκάνω |
| Παρατ. | ὤφειλον |
| Μέλ. | ὀφλήσω |
| Παρακ. | ὤφληκα |
| Ὑπερσ. | ὠφλήκειν |
| Ἀόρις. | ὤφλησα |
| Ἐνες. | Πάσχω |
| Παρατ. | ἔπασχον |
| Μέλ. | πείσομαι |
| Παρακ. | πέπονθα |
| Ὑπερσ. | ἐπεπόνθειν |
| Ἀόρις. β΄. | ἔπαθον |
| Ἐνες. | Πέπρωται ἀπὸ τοῦ περατῶ ἀχρήστου |
| Μετοχ. | ὁ πεπρωμένος |
| Ἐνες. | Πεταννύω καὶ πετάννυμι |
| Παρατ. | ἐπετάννυον |
| Μέλ. | πετάσω |
| Παρακ. | πεπέτακα |
| Ὑπερσ. | ἐπεπετάκειν |
| Ἀόρις. | ἐπέτασα |
| Ἐνες. | Πέρδω |
| Παρατ. | ἔπερδον |
| Μέλ. | παρδήσομαι |
| Παρακ. | πέπορδα |
| Ὑπερσ. | ἐπεπόρδειν |
| Ἀόρις. | ἔπαρδον καὶ ἐπάρδην. |
| Ἐνες. | Πηγνύω καὶ πήγνυμι |
| Παρατ. | ἐπήγνυον |
| Μέλ. | πήξω |
| Παρακ. | πέπηγα |
| Ὑπερσ. | ἐπεπήγειν |
| Ἀόρις. | ἔπηξα |
| Ἐνες. | Πιμπλῶ καὶ πίμπλημι. |
| Παρατ. | ἐπίμπλων |
| Μέλ. | πλήσω |
| Ἀόρις. | ἔπλησα |

| | |
|---|---|
| Ἐνες. | Πιμπρῶ ϗ πίμπρημι |
| Παρατ. | ἐπίμπρων |
| Μέλ. | πρήσω |
| Ἀόρις. | ἔπρησα |
| Ἐνες. | Πίνω |
| Παρατ. | ἔπινον |
| Μέλ. | πίομαι |
| Παρακ. | πέπωκα |
| Ὑπερσ. | ἐπεπώκειν |
| Ἀόρις. | ἔπιον |
| Ἐνες. | Πιπράσκω |
| Παρατ. | ἐπίπρασκον |
| Μέλ. | πράσω |
| Παρακ. | πέπρακα |
| Ὑπερσ. | ἐπεπράκειν |
| Ἐνες. | Πίπτω |
| Παρατ. | ἔπιπτον |
| Μέλ. | πεσοῦμαι |
| Παρακ. | πέπτωκα |
| Ὑπερσ. | ἐπεπτώκειν |
| Ἀόρις. β΄. | ἔπεσον |
| Ἐνες. | Πτάρνυμαι |
| Παρατ. | ἐπταρνύμην |
| Μέλ. | πταρῶ |
| Ἀόρις. | ἐπτάρην |
| Ἐνες. | Πυνθάνομαι |
| Παρατ. | ἐπυνθανόμην |
| Μέλ. | πεύσομαι |
| Παρακ. | πέπυσμαι |
| Ὑπερσ. | ἐπεπύσμην |
| Ἀόρις. | ἐπυθόμην |
| Ἐνες. | Ῥέω, ῥέεις, ῥέει ῥεῖ. |
| Παρατ. | ἔῤῥεον, ἔῤῥεες, ἔῤῥεε ἔῤῥει |
| Μέλ. | ῥεύσω |
| Παρακ. | ἔῤῥευκα |
| Ὑπερσ. | ἐῤῥεύκειν |
| Ἀόρις. | ἔῤῥευσα |
| Ἐνες. | Ῥηγνύω καὶ ῥήγνυμι |
| Παρατ. | ἐῤῥήγνυον |
| Μέλ. | ῥήξω |
| Παρακ. | ἔῤῥωγα |
| Ὑπερσ. | ἐῤῥώγειν |
| Ἀόρις. | ἔῤῥηξα |
| Ἐνες. | Ῥωννύω ϗ ῥώννυμι |
| Παρατ. | ἐῤῥώννυον |
| Μέλ. | ῥώσω καὶ τὰ λοιπὰ |
| Ἐνες. | Σβεννύω καὶ σβέννυμι |
| Παρατ. | ἐσβέννυον |
| Μέλ. | σβέσω |
| Παρακ. | ἔσβεκα |
| Ὑπερσ. | ἐσβέκειν |
| Ἀόρις. | ἔσβεσα καὶ ἔσβησα |

| | |
|---|---|
| Ἐνεσ. | Σκεδαννύω καὶ σκεδάννυμι |
| Παρατ. | ἐσκεδάννυον |
| Μέλ. | σκεδάσω |
| Παρακ. | ἐσκέδακα |
| Ὑπερσ. | ἐσκεδάκειν |
| Ἀόρις. | ἐσκέδασα |
| Ἐνεσ. | Σκλῆμι ἄχρηςον |
| Παρακ. | ἔσκληκα |
| Ἐνεσ. | Σπένδω |
| Παρατ. | ἔσπενδον |
| Μέλ. | σπείσω |
| Παρακ. | ἔσπονδα |
| Ἀόρις. | ἔσπεισα |
| Ἐνεσ. | Στωρεννύω καὶ ςωρέννυμι |
| Παρατ. | ἐςωρέννυον |
| Μέλ. | ςρώσω |
| Παρακ. | ἔςρωκα |
| Ὑπερσ. | ἐςρώκειν |
| Ἀόρις. | ἔςρωσα |
| Παρακ. | Τέθηπα |
| Ὑπερσ. | ἐτεθήπειν |
| Ἐνεσ. | Τέμνω |
| Παρατ. | ἔτεμνον |
| Μέλ. | τεμῶ |
| Παρακ. | τέτμηκα |
| Ὑπερσ. | ἐτετμήκειν |
| Ἀόρις. | ἔταμον |
| Ἐνεσ. | Τρέχω |
| Παρατ. | ἔτρεχον |
| Μέλ. | δραμοῦμαι |
| Παρακ. | δεδράμηκα. |
| Ὑπερσ. | ἐδεδραμήκειν |
| Ἀόρις. β΄. | ἔδραμον |
| Ἐνεσ. | Τίκτω |
| Παρατ. | ἔτικτον |
| Μέλ. | τέξω |
| Παρακ. | τέτοκα |
| Ὑπερσ. | ἐτετόκειν |
| Ἀόρις. β΄. | ἔτεκον |
| Ἐνεσ. | Τιτρώσκω |
| Παρατ. | ἐτίτρωσκον |
| Μέλ. | τρώσω |
| Παρακ. | τέτρωκα |
| Ὑπερσ. | ἐτετρώκειν |
| Ἀόρις. | ἔτρωσα |
| Ἐνεσ. | Τρέω καὶ τιτραίνω |
| Παρατ. | ἔτρεον |
| Μέλ. | τρήσω |
| Παρακ. | τέτρηκα |
| Ὑπερσ. | ἐτετρήκειν |
| Ἀόρις. | ἔτρησα |
| Ἐνεσ. | Τρέφω |
| Παρατ. | ἔτρεφον |
| Μέλ. | θρέψω |
| Παρακ. | τέθρεφα |
| Ὑπερσ. | ἐτεθρέφειν |

| | |
|---|---|
| Ἀόρις. | ἔθρεψα |
| Ἐνες. | Τρώγω |
| Παρατ. | ἔτρωγον |
| Μέλ. | φάγομαι |
| Παρακ. | βέβρωκα |
| Ἀόρις. β΄. | ἔφαγον |
| Ἐνες. | Τυγχάνω |
| Παρατ. | ἐτύγχανον |
| Μέλ. | τεύξομαι |
| Παρακ. | τετύχηκα |
| Ὑπερσ. | ἐτετυχήκειν |
| Ἀόρις. β΄. | ἔτυχον |
| Ἐνες. | Ὑπισχνοῦμαι |
| Παρατ. | ὑπισχνούμην |
| Μέλ. | ὑποσχήσομαι |
| Παρακ. | ὑπέσχημαι |
| Ὑπερσ. | ὑπεσχήμην |
| Ἀόρις. | ὑπεσχέθην |
| Μετ. μέλ. | ὑποσχεθήσομαι |
| Ἀόρις. β΄. | ὑπεσχόμην |
| Ἐνες. | Φέρω |
| Παρατ. | ἔφερον |
| Μέλ. | οἴσω |
| Παρακ. | ἐνήνοχα |
| Ὑπερσ. | ἐνηνόχειν |
| Ἀόρις. | ἤνεγκα |
| καὶ δευτ. | ἤνεγκον |
| Ἐνες. | Φεύγω |
| Παρατ. | ἔφευγον |
| Μέλ. | φευξοῦμαι |
| Παρακ. | πέφευγα |
| Ὑπερσ. | ἐπεφεύγειν |
| Ἀόρις. β΄. | ἔφυγον |
| Ἐνες. | Φάσκω |
| Παρατ. | ἔφασκον |
| Μέλ. | φήσω |
| Ἀόρις. β΄. | ἔφην |
| Ἐνες. | Φθάνω |
| Παρατ. | ἔφθανον |
| Μέλ. | φθάσω |
| Παρακ. | ἔφθακα |
| Ὑπερσ. | ἐφθάκειν |
| Ἀόρις. β΄. | ἔφθην |
| Ἐνες. | Χαίρω |
| Παρατ. | ἔχαιρον |
| Μέλ. | χαιρήσω καὶ χαρήσομαι |
| Ἀόρις. β΄. | ἐχάρην |
| Ἐνες. | Χέω, χέεις χεῖς χέει χεῖ. |
| Παρατ. | ἔχεον, ἔχεες ἔχεις, ἔχεε ἔχει |
| Μέλ. | χεύσω |
| Παρακ. | κέχυκα |
| Ὑπερσ. | ἐκεχύκειν |
| Ἀόρις. | ἔχεα |
| Προςακ. | χέον |
| Εὐκτ. | χέαιμι |
| Ἀπαρέμ. | χέαι |

| | | | |
|---|---|---|---|
| Μετοχ. | χέας | Ἐ'νες. | Χωννύω ϗ χώννυμι |
| Ἐ'νες. | Χρωννύω καὶ χρώννυμι | Παρατ. | ἐχώννυον |
| Παρατ. | ἐχρώννυον | Μέλ. | χώσω |
| Μέλ. | χρώσω | Παρακ. | κέχωκα |
| Παρακ. | κέχρωκα | Ὑ'περσ. | ἐκεχώκειν |
| Ὑ'περσ. | ἐκεχρώκειν | Α'όρις. | ἔχωσα |
| Α'όρις. | ἔχρωσα | | |

# ΤΗΣ ΚΑΤ' ἘΠΙΤΟΜΗΝ ΓΡΑΜΜΑΤΙΚΗΣ.

# ΒΙΒΛΙ'ΟΝ Β'.

## ΚΑΝΟ'ΝΕΣ

## ΠΡΟΣῼΔΙ'ΑΣ ΚΛΙ'ΣΕΩΣ *καὶ* ΓΡΑΦΗ͂Σ.

### *Διαίρεσις τῶν γραμμάτων.*

Τῶν εἴκοσι καὶ τεσσάρων γραμμάτων ἑπτὰ μὲν εἰσι Φωνήεντα· οἷον, α, ε, η, ι, ο, υ, ω. Σύμφωνα δὲ δεκαεπτὰ τὰ λοιπὰ πάντα. τῶν δὲ Φωνηέντων τούτων μακρὰ μὲν δύο η, καὶ ω· βραχέα δὲ αὖθις δύο ε, καὶ ο· δίχρονα δὲ, τρία· α, ι, υ. ἐξ ὧν γίνονται δίφθογγοι δέκα· ὧν κυρίως μὲν ἕξ· αι, αυ, ει, ευ, οι, ου. καταχρηστικῶς δὲ, τέσσαρες· ᾳ, ῃ, ῳ, υι. τῶν δ' αὖ συμφώνων διπλᾶ μὲν τρία· ζ, ξ, ψ. ψιλὰ δὲ, τρία· κ, π, τ. δασέα δὲ, τρία· θ, φ, χ· μέσα δὲ, τρία· β, γ, δ. ἀμετάβολα δὲ, τέσσαρα· λ, μ, ν, ρ· καὶ τὸ μοναδικὸν σ.

### Προσῳδία.

Προσῳδίαι δέ εἰσιν ἑπτὰ μάλιστα· οἷον, Ὀξεῖα ´,

Βαρεῖα ` , Περισπωμένη ~ , Ψιλὴ ᾿ , Δασεῖα ῾ , Ἀπόςροφος ᾿ , καὶ Ὑποδιαςολὴ ,.

### Τόποι τῶν τόνων.

Τίθεται δὲ ἡ μὲν Ὀξεῖα ἐπὶ τῆς ληγούσης, παραληγούσης, καὶ προπαραληγούσης· οἷον, ὁ χολερός ἐςιν ὀργίλος ἄνθρωπος. ἡ δὲ Βαρεῖα ἐπὶ μόνης τῆς ληγούσης· οἷον σοφὸς ἄνθρωπος. ἡ δὲ Περισπωμένη, ἐπίτε τῆς ληγούσης καὶ τῆς παραληγούσης· οἷον, ἀγαπῶ Μοῦσαν.

### Κανόνες τῶν, ὅσα περισπῶνται.

„ Πᾶν μακρὸν πρὸ βραχέος κείμενον περισπᾶται· οἷον, πρῶτος, βῆμα.

„ Πᾶσα γενικὴ, καὶ δοτικὴ τῶν ἄρθρων περισπᾶται· οἷον, τοῦ, τῷ, τῶν, τοῖς.

„ Πᾶσα γενικὴ, καὶ δοτικὴ μακροκατάληκτος οὖσα, καὶ τὸν τόνον ἐπὶ τῆς ληγούσης δεχομένη, περισπᾶται· οἷον, σοφοῦ, σοφῷ, σοφῶν, σοφοῖς.

„ Πᾶσα λέξις εἰς ευ, ἢ εἰς ου, περισπᾶται· οἷον, βασιλεῦ, φεῦ, πανταχοῦ. πλὴν τῶν, ἰδοὺ, ἰοὺ, οὔ.

„ Πᾶσα λέξις ἐκ συναιρέσεως γενομένη, περισπᾶται· οἷον, γέα γῆ, ποιέω ποιῶ.

### Κανόνες τῶν, ὅσα οὐ περισπῶνται.

„ Ἐπάνω βραχείας συλλαβῆς Ὀξεῖα τίθεται· λίθος.

„ Μακρὸν πρὸ μακροῦ κείμενον ὀξύνεται· οἷον, ἥρως.

„ Ἐπάνω θέσει μακρᾶς ὀξεῖα τίθεται· γράμμα.

„ Πᾶσα ὀνομαςικὴ καὶ αἰτιατικὴ τῶν τε ἄρθρων, καὶ τῶν ὀνομάτων, ἀσυναιρέτων ὄντων, ὀξύνε-

ται· οἷον, ἡ τιμὴ, οἱ λῃςαὶ, τὰς τιμὰς, τοὺς λῃςάς.

Κανόνες τῶν δασυνομένων καὶ ψιλουμένων.

„ Πᾶν ἄρθρον, ἀπὸ φωνήεντος ἀρχόμενον, δασύνεται· ὁ, ἡ.

„ Πᾶσα λέξις, ἀρχομένη ἀπὸ τοῦ ρ, δασύνεται· οἷον, ῥῆμα. εὑρεθέντων δὲ ἐν τῷ μέσῳ δύο ρρ, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται· οἷον, ἐπίῤῥημα.

„ Πάντες οἱ αἰτιολογικοὶ καὶ ἀποτελεςικοὶ σύνδεσμοι δασύνονται· οἷον ἵνα, ὅπως, ἕνεκα, ὅτι· πλὴν τοῦ ὄφρα.

„ Τὰ κατ' ἀφαίρεσιν ψιλοῦ συμφώνου γενόμενα πάντα δασύνονται· οἷον, ἕως ἀπὸ τοῦ τέως, ὡς ἀπὸ τοῦ πῶς, ὅτε ἀπὸ τοῦ τότε, ἡνίκα ἀπὸ τοῦ πηνίκα.

„ Τῶν ἀριθμητικῶν τὰ ἀπὸ φωνήεντος ἀρχόμενα δασύνονται· οἷον, εἷς, ἓξ, ἑπτά. πλὴν τῶν ὀκτὼ καὶ ἐννέα, καὶ εἴκοσι.

Τὰ δὲ λοιπὰ δασυνόμενα, ἅτε δὴ μὴ δυνάμενα συμπεριληφθῆναι γενικῶς εἰς κανόνας, ἐκτίθενται οὕτω.

| | | | |
|---|---|---|---|
| Ἅβρα, | ἁβρὸς, | ἁγνὸς, | ἅγιος. |
| ᾅδης, | ἁδρὸς, | ἅζομαι, | αἷμα. |
| αἱρῶ, | αἱροῦμαι, | αἱμύλος, | αἷμος. |
| ἅλς, | ἅλας, | ἁλίζω, | ἅλις. |
| ἅλλομαι, | ἅλυσις, | ἅμα, | ἁμαρτάνω. |
| ἅμιλλα, | ἁμίς, | ἅπαξ, | ἁπλοῦς. |
| ἁπαλὸς, | ἅπτομαι, | ἅρμα, | ἁρπάζω. |
| ἅρκυς, | ἁψὶς, | ἁψίκορος. | |

| | | | |
|---|---|---|---|
| Ἑαυτοῦ, | ἕβδομος, | ἑβραῖος, | ἕδος. |
| ἕδρα, | ἑδοῦμαι, | ἕδνα, | ἕζομαι. |
| εἱλύω, | εἱμαρμένη, | εἷμα, | εἵως. |
| εἱρμὸς, | εἵργω, | Εἱρκτὴ, | ἑκάς. |
| ἕκαςος, | ἑκάτερος, | Ἑκάτη, | ἑκὼν. |
| ἕλος, | ἑλίσσω, | ἑλικὼν, | ἕλιξ. |
| ἑλκύω, | ἕλκος, | ἑορτὴ, | ἕπομαι. |
| ἕρκος, | ἕρπω, | ἑρμηνεύω, | ἑςιῶ. |
| ἕτοιμος, | ἕτερος, | ἑταῖρος, | εὑρίσκω. |
| εὕδω, | ἕψω, | ἕως, | ἕωλος. |
| Ἡβῶ, | ἡγοῦμαι, | ἡγεμὼν, | ἥδομαι. |
| ἡδύνω, | ἡδονὴ, | ἡδὺς, | ἥκω. |
| ἥκιςα, | ἧλος, | ἥλιος, | ἡλικία. |
| ἡμέρα, | ἥμερος, | ἥμισυ, | ἡμεῖς. |
| ἡνία, | ἧπαρ, | ἥρως, | ἥσυχος. |
| ἥσσων, καὶ | ἥττων, | ἡττῶμαι, | ἡ. |
| ἱδρύω, | ἱερὸς, | ἱέραξ, | ἵημι. |
| ἱκανὸς, | | ἱκετεύω, | ἱκνοῦμαι. |
| ἵλεως, | ἱλαρὸς, | ἵμερος, | ἱμάς. |
| ἱμάσσω, | ἱμείρω, | ἵππος, ἵπταμαι, | ἵςαμαι. |
| Ὁδὸς, | ὅθεν, | ὁμαλὸς, | ὁπλή. |
| οἷος, | ὅλμος, | ὅλος, | ὁλκή. |
| ὁλκὰς, | ὁμοῦ, | ὅμοιος, | ὅμως. |
| ὅμιλος, | ὅπλον, | ὁπόσος, | ὁποῖος. |
| ὅπου, | ὅρος, | ὁρῶ, | ὅρμος. |
| ὅρκος, | ὅσιος, | ὅταν, | οὗτος. |
| Ὥρα, | ὡρακιῶ, | ὧδε, | ὡραῖος. |

Ταῦτα μὲν εἰσὶ τὰ δασυνόμενα, καὶ ὅσα ἐκ τούτων παράγονται.

## Περὶ ὑποδιαςολῆς καὶ ἀποςρόφου.

Χρώμεθα δὲ τῇ ὑποδιαςολῇ, διαςέλλοντες τὰς συνημμένας τῶν λέξεων· οἷον, τό,τε· ὅ,τε· ὅ,τι· πρὸς διαςολὴν τοῦ ὅτε, τότε, ὅτι.

Τῷ δὲ ἀποςρόφῳ, ὅταν ἐκθλίβηται τὸ ἐν τέλει φωνῆεν· οἷον φέρ᾽ εἰπεῖν, ταῦτ᾽ ἄρα.

## Περὶ μακρῶν καὶ βραχέων ἐν ῷ καὶ περὶ Ὀρθογραφίας.

„ Πάντα τὰ εἰς ια θηλυκὰ, εἰ μὲν προπαροξύνονται, διὰ τοῦ ει γράφονται, καὶ τὸ α βραχὺ ἔχουσιν· οἷον, ἀλήθεια. εἰ δὲ παροξύνονται, διὰ τοῦ ι· οἷον, σοφία· πλὴν τῶν γινομένων ἀπὸ τῶν εἰς ευω ῥημάτων· οἷον, βασιλεύω, βασιλεία· καὶ πλὴν τῶν ἀπὸ τῶν εἰς υς ὀξυτόνων· οἷον, ὀξὺς, ὀξεῖα· βαρὺς, βαρεῖα. καὶ τῶν ἀπὸ τῶν εἰς ους εἰς οια· οἷον, εὔνους, εὔνοια.

„ Πάντα τὰ εἰς αια δισύλλαβα βραχὺ τὸ α ἔχουσιν· οἷον, μαῖα, γαῖα, γραῖα.

„ Πάντα τὰ εἰς α ἐπίθετα θηλυκὰ, εἰ μὲν ἡ γενικὴ τοῦ ἀρσενικοῦ βραχυκαταληκτεῖ, βραχὺ τὸ α ἔχουσιν· οἷον, πᾶς παντὸς, πᾶσα. εἰ δὲ μακροκαταληκτεῖ, μακρόν· οἷον, ἀνδρεῖος ἀνδρείου, ἀνδρεία. ποῖος, ποίου, ποία.

„ Τὰ εἰς ρα, διφθογγοπαραληκτούμενα μὲν, βραχὺ τὸ α ἔχουσι· οἷον πεῖρα, μοῖρα· φύσει δὲ ἢ θέσει μακρᾷ παραλήγοντα, μακρόν· οἷον, πήρα, ὥρα, ἄγρα.

„ Τὰ εἰς οτερος, καὶ οτατος καὶ τὰ εἰς οσυνη, ε

μὲν ἔχουσι τὴν πρὸ τοῦ ο συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, σοφώτερος, σοφώτατος, ἁγιωσύνη. εἰ δὲ μακρὰν, διὰ τοῦ ο μικροῦ· οἷον, λυπηρότερος, λυπηρότατος· ἐνδοξότατος· δικαιοσύνη, σωφροσύνη.

„ Ἡ Οι, καὶ Αι δίφθογγοι, ἐντέλει λέξεων, ἀντὶ βραχέων λαμβάνονται· οἷον, μοῦσαι, δῆμοι, ποιῆσαι, πλὴν τῶν Εὐκτικῶν· ποιήσαι, χρυσώσοι.

„ Πᾶσα λέξις ἀρχομένη ἀπὸ τοῦ ρ, προσλαβοῦσα ἐκ συνθέσεως καὶ ἑτέραν ἢ λέξιν ἢ συλλαβὴν λήγουσαν εἰς φωνῆεν, προσλαμβάνει καὶ ἕτερον ρ· οἷον ῥῆμα, ἐπίῤῥημα ῥέω, ἔῤῥεον.

Καὶ ταῦτα μὲν περὶ ὀρθογραφίας ὡς ἐν ἐπιτομῇ. δεῖ δ᾽ οὖν τῇ ἐτυμολογίᾳ προσέχειν καὶ τῇ συνθέσει τῶν λέξεων μάλιςα τὸν ὀρθογράφειν τελείως βουλόμενον. πολλὰ γὰρ κἂν τῇ συνθέσει μεταξὺ μεταβάλλουσι τὴν γραφήν· ὡς τὰ, ὀβολὸς τριώβολον· ὁμαλὸς ἀνώμαλος· ὄλεθρος ἀνώλεθρος· ὀδύνη ἐπώδυνος· ὄνομα ἀντωνυμία, καὶ τὰ τοιαῦτα.

## ΠΕΡΙ ὈΝΟΜΑΤΟΣ.

Τὰ ὀνόματα διττῶς θεωροῦται, κατὰ φωνὴν μὲν, Πρωτότυπον καὶ Παράγωγον· ἅγιος, ἁγιωσύνη. κατὰ δὲ σημασίαν, Οὐσιαςικὸν καὶ Ἐπίθετον· οἷον, λίθος, ἀγαθός.

Εἰσὶ δὲ τὰ εἴδη τοῦ Παραγώγου δύω, Παρώνυμον, καὶ Ῥηματικόν· καὶ Παρώνυμον μὲν λέγεται

τὸ ἐξ ἑτέρου ὀνόματος παραγόμενον. οὗ εἴδη ἓξ Πατρωνυμικὸν, Κτητικὸν, Συγκριτικὸν, Ὑπερθετικὸν, Ὑποκοριςικὸν, καὶ Παρώνυμον.

Πατρωνυμικὸν μὲν ἐςι τὸ ἀπὸ πάππου ἢ πατρὸς παραγόμενον. καὶ εἰ μὲν μὴ καθαρὸν εἴη, εἰς ιδης παρασχηματιζόμενον· οἷον, Δημοσθένης Δημοσθενίδης· καὶ τὸ Θηλυκὸν Δημοσθενίς. εἰ δὲ καθαρὸν, εἰς αδης· οἷον Ἀθανάσιος Ἀθανασιάδης, καὶ τὸ Θηλυκὸν Ἀθανασιάς.

Κτητικὸν δὲ τὸ ἀπὸ κυρίων καὶ προσηγορικῶν παραγόμενον, καὶ εἰς κὸς καὶ ος καθαρὸν καταλῆγον· οἷον μουσικὸς, Πλατωνικὸς, Ἡράκλειος, λόγιος, Ῥωμαῖος, ἀλλοῖος.

Συγκριτικὸν δὲ τὸ ἐκ τῶν ἐπιθέτων παραγόμενον ὀνομάτων, ὁμαλῶς μὲν, σοφὸς σοφώτερος· ἀνωμάλως δὲ, μέγας μείζων.

Ὑπερθετικὸν δὲ τὸ ἀπὸ Συγκριτικῶν γενόμενον, ὁμαλῶς μὲν, σοφώτερος σοφώτατος· ἀνωμάλως δὲ, μείζων, μέγιςος.

Ὑποκοριςικὸν δὲ τὸ ἀπὸ κυρίων καὶ προσηγορικῶν ὀνομάτων παραγόμενον καὶ αὐτὸ, καὶ μείωσιν τοῦ Πρωτοτύπου δηλοῦν· οἷον, ἄνθρωπος, ἀνθρωπίσκος. παῖς, παιδάριον, καὶ παιδίσκη· μεῖραξ, μειράκιον· ζῶον ζωΰφιον.

Παρώνυμον δὲ τὸ ἐξ ὀνόματος ἁπλῶς παραγόμενον· οἷον, ἅγιος, ἁγιωσύνη· σοφὸς, σοφία· ταχὺς, ταχύτης· εὐγενὴς, εὐγένεια· εὔνους, εὔνοια.

Ῥηματικὸν δέ ἐςι τὸ ἐκ ῥήματος παραγόμενον· οἷον, ἐξ ἐνεργητικοῦ μὲν, λέγω λόγος· ἐκ δὲ πα-

θητικοῦ, νενόημαι νόημα, νενόησαι νόησις, νενόηται νοητὸς καὶ νοητέον τοὐπίῤῥημα.

Τὰ δὲ τῆς σημασίας αὖθις εἴδη εἰσὶ δύο. Οὐσιαςικὸν μὲν κύριον καὶ προσηγορικόν· οἷον, Παῦλος, λίθος. Ἐπίθετον δὲ τὸ τριγενῶς κλινόμενον οὕτω, σοφός, σοφὴ, σοφόν· καὶ ταῦτα μὲν περὶ τοῦ Ὀνόματος.

---

## Περὶ τῆς κατὰ διάθεσιν διαιρέσεως τοῦ Ῥήματος.

Τὸ δὲ Ῥῆμα διαιρεῖται ἐνταῦθα εἰς πέντε κατὰ διάθεσιν εἰς Ἐνεργητικὸν Παθητικόν, Οὐδέτερον, Μέσον, καὶ Ἐπίμεσον.

„ Καὶ Ἐνεργητικὸν μέν ἐςι τὸ λῆγον εἰς ω, καὶ σχηματίζον παθητικὸν εἰς μαι· οἷον, τύπτω τύπτομαι.

„ Παθητικὸν δὲ, τὸ ἐξ Ἐνεργητικοῦ γενόμενον καὶ πάθος σημαῖνον· οἷον, τύπτομαι ἀπὸ τοῦ τύπτω.

„ Οὐδέτερον δὲ τὸ ἔχον τύπον Ἐνεργητικοῦ, καὶ μὴ σχηματίζον Παθττικόν· οἷον, ζῶ, ἀναβαίνω.

„ Μέσον δὲ, τὸ ἐξ Ἐνεργητικοῦ παθητικῶς προφερόμενον, καὶ τὸ αὐτὸ ἅμα ἐνέργειάν τε καὶ πάθος σημαῖνον· οἷον, λούομαι, θύομαι τῷ θεῷ.

„ Ἐπίμεσον δὲ τὸ ἐξ ἀποβολῆς τῆς εἰς ω καταλήξεως, παθητικῶς ἀεὶ προφερόμενον, καὶ τὸ αὐτὸ ἅμα ἐνέργειάν τε καὶ πάθος σημαῖνον· οἷον, γίνομαι, ἔρχομαι, μάχομαι, κτῶμαι.

## Περὶ Χρόνων.

„ Χρόνοι δὲ ἕξ, τρεῖς μὲν, ἀρκτικοί· τρεῖς δὲ, οἱ ἐκ τούτων γενόμενοι· καὶ τὰ τελικὰ αὐτῶν φυλάττοντες σύμφωνα· οἷον,

Ἐνεςὼς, γράφω· ἐξ οὗ ὁ Παρατ., ἔγραφον.
Παρακ. γέγραφα· ἐξ οὗ ὁ Ὑπερσ. ἐγεγράφειν.
Μέλλων, γράψω· ἐξ οὗ ὁ Ἀόριςος, ἔγραψα.

„ Ἅπαντες δέ εἰσι παρῳχημένοι πλὴν τοῦ Ἐνεςῶτος καὶ Μέλλοντος.

## Τίνα τῶν Φωνηέντων καὶ τῶν Διφθόγγων τρέπονται.

„ Τῶν ἑπτὰ Φωνηέντων τρεπτὰ μέν εἰσι τρία· α, ε, ο· ἄτρεπτα δὲ, τέσσαρα· η, ι, υ, ω.

„ Τῶν δὲ κυρίως Διφθόγγων τρεπταὶ μὲν, τρεῖς· αι, αυ, οι· ἄτρεπτοι δ' αὖθις τρεῖς· ει, ευ, ου.

## Κανόνες τῶν Ῥημάτων.

„ Ἡ αὔξησις τῶν Ῥημάτων ἐςὶ διττὴ χρονικὴ καὶ συλλαβική.

„ Καὶ χρονικὴ μέν ἐςι τροπὴ τοῦ βραχέος φωνήεντος εἰς μακρόν· ἥτις γίνεται, ὅτε τὸ ῥῆμα ἄρχεται, ἢ ἀπὸ τῶν τρεπτῶν φωνηέντων, ἢ ἀπὸ τῶν τρεπτῶν Διφθόγγων· ἥτις καὶ φύσει μακρὰ λέγεται· οἷον ἀκούω, ἤκουον· αἴρω, ἦρον· αὐλῶ, ηὔλουν.

„ Συλλαβικὴ δέ ἐςι, περισσότης συλλαβῆς ἐν τοῖς παρῳχημένοις χρόνοις. ἥτις γίνεται, ὅτε τὸ ῥῆμα ἄρχεται ἀπὸ συμφώνου· ἧς εἴδη τρία, Βραχεῖα, θέσει Μακρὰ, καὶ Κοινή.

„ Καὶ βραχεῖα μὲν ἐςι τὸ ε τοῦ Παρατατικοῦ, ὅτε μεθ᾽ ἑαυτὸ ἔχει ἓν ἁπλοῦν σύμφωνον· οἷον, ἔτυπτον.

„ Θέσει δὲ Μακρὰ, ὅτε μεθ᾽ ἑαυτὸ ἔχει δύο σύμφωνα· ὧν οὐδέτερόν ἐςιν ἀμετάβολον· οἷον, ἔφθειρον. ἢ ἓν τῶν διπλῶν τυμφώνων ζ, ξ, ψ· οἷον, ἔζων, ἔξεον, ἔψαλλον.

„ Κοινὴ δὲ, ὅτε ἔχει δύο σύμφωνα· ὧν τὸ δεύτερον ἐςιν ἀμετάβολον· οἷον, ἐγρηγόρουν, ἔτρεχον.

## Περὶ τῶν ἀρχομένων ἀπὸ τῶν τρεπτῶν φωνηέντων καὶ διφθόγγων.

„ Ὅτε τὸ ῥῆμα ἄρχεται ἀπὸ τῶν βραχέων α, ε, ο· τρέπονται ταῦτα εἰς μακρὰ η, ω ἐν τῷ Παρατατικῷ· οἷον, ἀκούω ἤκουον, ἔρχομαι ἠρχόμην, ὀνομάζω ὠνόμαζον.

„ Ὁμοίως δὲ καὶ ὅταν ἄρχηται ἀπὸ τῶν τρεπτῶν Διφθόγγων αι, αυ, οι· τρέπονται εἰς ῃ, ηυ, ῳ ἐν τῷ Παρατατικῷ· οἷον, αἴρω ᾖρον, αὐλῶ ηὔλουν, οἰκτείρω, ᾤκτειρον.

## Περὶ τῶν ἀρχομένων ἀπὸ τῶν ἀτρέπτων.

„ Τὰ δὲ ἀρχόμενα ἀπὸ τῶν ἀτρέπτων οὐδεμίαν μεταβολὴν ἐπιδέχονται· οἷον

| | | |
|---|---|---|
| τῶν μὲν φωνηέντων. | ἰξεύω, | ἴξευον |
| | ἠχῶ, | ἤχουν |
| | ὠφελῶ, | ὠφέλουν |
| | ὑβρίζω, | ὕβριζον |
| τῶν δὲ Διφθόγγων. | εἰκάζω, | εἴκαζον |
| | οὐρῶ, | οὔρουν |
| | εὑρίσκω, | εὕρισκον |

## Περὶ Παρατατικοῦ.

Ὅτε ὁ Ἐνεςὼς ἄρχεται ἀπὸ συμφώνου, τότε ὁ Παρατατικὸς αὐξάνει τῷ ε· οἷον, τύπτω ἔτυπτον.

„ Τὰ δὲ ἀπὸ προθέσεως σύνθετα, ἐν χρήσει μὲν ὄντων τῶν ἁπλῶν, ἔσωθεν αὐξάνουσιν· οἷον, ἀναγινώσκω, ἀνεγίνωσκον. ἀχρήςων δὲ, ἔξωθεν· οἷον, ἀντιβολῶ, ἠντιβόλουν.

„ Τινὰ δὲ ἀπὸ φωνήεντος ἀρχόμενα, κατ' ἄμφω αὐξάνει· οἷον, ἐνοχλῶ, ἠνώχλουν· ἀνορθῶ, ἠνώρθουν· παροινῶ, ἐπαρῴνουν, καὶ ἐδιῄτουν, καὶ ἠνειχόμην.

„ Τὰ δὲ ἀπὸ τοῦ δυς σύνθετα, ἑπομένου μὲν φωνήεντος τρεπτοῦ, ἔσωθεν αὐξάνει· οἷον δυσαρεςῶ, δυσηρέςουν. ἑπομένου δὲ ἀτρέπτου ἢ συμφώνου, ἔξωθεν· οἷον δυσημερῶ, ἐδυσημέρουν· δυςυχῶ, ἐδυςύχουν.

„ Τὰ δὲ ἀπὸ τοῦ ευ σύνθετα, ἑπομένου μὲν φωνήεντος τρεπτοῦ, ἔσωθεν αὐξάνει· οἷον εὐεργετῶ εὐηργέτουν· ἑπομένου δὲ ἀτρέπτου, ἢ συμφώνου, ἀμετάβλητα μένει· οἷον εὐημερῶ, εὐημέρουν· εὑρίσκω, εὕρισκον.

## Περὶ Παρακειμένου.

„ Ἔχει δὲ ὁ Παρακείμενος ληκτικὰ σύμφωνα τρία· φ, χ, κ· ὅτε γὰρ ὁ μέλλων ἔχει τὸ ψ, ὁ Παρακείμενος τὸ φ. ὅτε ἔχει τὸ ξ, ὁ Παρακείμενος τὸ χ. ὅτε δὲ τὸ σ, ὁ Παρακείμενος τὸ κ.

„ Ὅτε ὁ Παρατατικὸς ἄρχεται ἀπὸ μακρᾶς φύσει ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ Παρακείμε-

νος καὶ οἱ λοιποὶ παρῳχημένοι χρόνοι· οἷον, ἠγόραζον ἠγόρακα, ἔφθειρον ἔφθαρκα.

„ Ὅτε ὁ Παρατατικὸς ἄρχεται ἀπὸ βραχείας, ἢ κοινῆς συλλαβῆς, τότε ὁ Παρακείμενος ἀναδιπλασιάζεται διὰ τοῦ συμφώνου τοῦ Ἐνεςῶτος· οἷον, ἔτυπτον, τέτυφα· ἔγραφον, γέγραφα.

„ Ὁ δὲ Παρακείμενος τῶν ἀρχομένων ἀπὸ τῶν δασέων θ, φ, χ. οὐκ ἀναδιπλασιάζεται διὰ τῶν αὐτῶν, ἀλλὰ διὰ τῶν ἀντιςίχων ψιλῶν κ, π, τ· οἷον, θεωρῶ, τεθεώρηκα· φονεύω, πεφόνευκα· χωνεύω, κεχώνευκα.

„ Ὅτε ὁ δυσύλλαβος Μέλλων ἔχει τελικὸν ψ, ἢ ξ, καὶ παραλήγει τῷ ε, ὁ Παρακείμενος τρέπει αὐτὸ εἰς ο ἀττικῶς· οἷον, πέμψω, πέπομφα· βρέξω, βέβροχα.

„ Ὅτε ὁ Παρακείμενος λήγει εἰς κα, ἀποβάλλει τὸ κ, καὶ συςέλλει τὴν παραλήγουσαν ἰωνικῶς· οἷον, ἕςακα, ἕςαα, βέβαα, δέδια, τέθναα.

## Περὶ Ἀττικοῦ Παρακειμένου.

„ Ὅτε τὸ ῥῆμα ἄρχεται ἀπὸ φωνήεντος τρεπτοῦ, ὁ ἀττικὸς Παρακείμενος προσλαμβάνει τὰ δύο ἀρκτικὰ γράμματα τοῦ Ἐνεςῶτος, καὶ εἰ τρισύλλαβος εἴη, συςέλλει τὴν παραλήγουσαν· οἷον, ἀκούω, ἤκουκα καὶ ἀκήκοα ἀττικῶς. εἰ δὲ δισύλλαβος οὐ συςέλλει αὐτήν· οἷον, ὦλα, ὄλωλα.

„ Ἔνια δὲ ἀπὸ φωνήεντος ἀρχόμενα, προσλαμβάνουσιν ἀττικῶς ε ψιλούμενον, ὅτε ψιλοῦνται, καὶ δασυνόμενον αὖθις, ὅτε δασύνονται· οἷον, ὦσμαι, ἔωσμαι· ὦρακα ἑώρακα.

„ Ὅτε ὁ Ἐνεςὼς ἄρχεται ἀπὸ τοῦ λ· ἢ μ, οἱ ἀττικοὶ ἐκβάλλουσι τοῦτο, καὶ προςιθέντες ι, σχηματίζουσιν ἴδιον παρακείμενον· οἷον, λήβω λέληφα, εἴληφα· μείρομαι μέμαρμαι, εἵμαρμαι.

Περὶ τοῦ Ὑπερσυντελίκου.

„ Ὅτε ὁ Παρακείμενος ἄρχεται ἀπὸ συμφώνου, τότε ὁ Ὑπερσυντέλικος πλεονάζει αὐτοῦ μίαν συλλαβήν· οἷον τέτυφα ἐτετύφειν. ὅτε δὲ ἀπὸ φωνήεντος, αὐξάνει χρονικῶς· οἷον, ἀκήκοα ἠκηκόειν.

Περὶ τοῦ β'. Παρακειμένου, καὶ β'. Ἀορίςου.

„ Ὅτε ὁ Μέλλων τῶν ληγόντων εἰς ζ, ἢ ττ λήγει εἰς ξω, ὁ δεύτερος Παρακείμενος, καὶ ὁ δεύτερος Ἀόριςος τὸ γ ἔχουσιν· οἷον, κράξω, κέκραγα, ἔκραγον. ὅτε δὲ λήγει εἰς σω, τότε τὸ δ ἔχουσιν· οἷον, φράσω, πέφραδα, ἔφραδον.

Ἰδίως περὶ Παρακειμένου δευτέρου.

„ Ὅτε ὁ δισύλλαβος Μέλλων παραλήγει τῷ ε, τότε ὁ δεύτερος Παρακείμενος τρέπει αὐτὸ εἰς ο· οἷον, λέξω, λέλογα.

„ Ὅτε ὁ Ἐνεςὼς παραλήγει τῇ αι, ὁ δεύτερος παρακείμενος τρέπει αὐτὴν εἰς η· οἷον, χαίνω, κέχηνα·

„ Ὅτε ὁ δισύλλαβος Μέλλων παραλήγει τῇ ει, ὁ δεύτερος Παρακείμενος τρέπει αὐτὴν εἰς οι· οἷον, πείσω, πέποιθα· εἴσω, οἶδα.

Ἰδίως περὶ τοῦ δευτέρου Ἀορίςου.

„ Ὅτε ὁ Ἐνεςὼς παραλήγει τῇ αι, ὁ δεύτερος Ἀόριςος ἀποβάλλει τὸ ι· οἷον, φαίνω, ἔφανον.

„ Ὅτε δὲ τῇ αυ, ἀποβάλλει τὸ υ· παύω, ἔπαον.
„ Ὅτε δὲ τῇ ει, ἀποβάλλει τὸ ε· λείπω, ἔλιπον.
„ Ὅτε δὲ τῇ ευ, ἀποβάλλει τὸ ε· φεύγω, ἔφυγον.
„ Ὅτε δὲ τῇ ου, ἀποβάλλει τὸ υ· ἀκούω, ἤκοον.
„ Ὅτε δὲ τῷ η, τρέπει αὐτὸ εἰς α· λήβω, ἔλαβον.
„ Ὅτε δὲ εὑρεθῇ ἐν δισυλλάβῳ Μέλλοντι ε, τρέπεται αὐτὸ εἰς α ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῷ δευτέρῳ Ἀορίστῳ· οἷον, τέμνω τεμῶ, ἔταμον· κλέπτω κλέψω, ἔκλαπον· κείρω κερῶ, ἔκαρον.

## Περὶ τοῦ πρώτου Ἀορίστου.

„ Ὁ πρῶτος Ἀόριστος φυλάττει τὸ σύμφωνον τοῦ Μέλλοντος καὶ τὴν παραλήγουσαν αὐτοῦ· οἷον, τύψω, ἔτυψα, ποιήσω ἐποίησα. πλὴν τῶν ἐχόντων τελικὸν ἀμετάβολον.
„ Ὅτε γὰρ ὁ Μέλλων τούτων παραλήγει τῷ ε, τότε ὁ Ἀόριστος προσλαμβάνει τὸ ι· οἷον, νεμῶ ἔνειμα· σπερῶ ἔσπειρα.
„ Ὅτε δὲ ἔχει α, τότε ὁ Ἀόριστος κοινῶς μὲν τρέπει αὐτὸ εἰς η· οἷον, ψαλῶ ἔψηλα· ἀττικῶς δὲ φυλάττει αὐτό· οἷον ἔψαλα.

## Περὶ Μέλλοντος πρώτου.

„ Ὅτε ὁ Ἐνεστὼς ἔχει τελικὸν β, π, φ, πτ, τότε ὁ Μέλλων ἔχει ψ· οἷον, λήβω λήψω, τέρπω τέρψω, τύπτω τύψω, γράφω γράψω.
„ Ὅτε δὲ ἔχει γ, κ, χ, κτ, ὁ Μέλλων ἔχει τὸ ξ· οἷον, λέγω λέξω, πλέκω πλέξω. βρέχω βρέξω, τίκτω τέξω.
„ Ὅτε δὲ ἔχει δ, θ, τ, ὁ Μέλλων ἔχει τὸ σ· οἷον, ᾄδω ᾄσω· πλήθω πλήσω· ἀνύτω ἀνύσω.

„ Ὅτε δὲ ἔχει ζ, ἢ σσ, ὁ Μέλλων ἔχει ποτὲ μὲν τὸ ξ, ποτὲ δὲ τὸ σ· οἷον, κράζω κράξω· φράζω φράσω· ὀρύττω ὀρύξω· πλάττω πλάσω.

„ Ὅτε δὲ ἔχει ἀμετάβολον, τὸ αὐτὸ ἔχει καὶ ὁ Μέλλων· οἷον ψάλλω ψαλῶ· νέμω νεμῶ· κρίνω κρινῶ· σπείρω σπερῶ.

„ Ὅτε δὲ λήγει εἰς ω καθαρὸν, ὁ Μέλλων ἔχει τὸ σ· οἷον, ἀκούω ἀκούσω.

## Περὶ τοῦ δευτέρου Μέλλοντος.

„ Ὅτε ὁ Ἐνεστὼς ἔχει τελικὸν ἀμετάβολον, καὶ παραλήγει τῇ ει, ὁ Μέλλων β΄. ἀποβάλλει τὸ ι· οἷον, σπείρω, σπερῶ.

„ Ὅτε δὲ παραλήγει τῇ αι, ὁ Μέλλων β΄. ἀποβάλλει τὸ ι· οἷον, φαίνω φανῶ.

„ Ὅτε δὲ ἔχει δύο ἀμετάβολα, ὁ Μέλλων ἀποβάλλει τὸ ἓν· οἷον, ψάλλω ψαλῶ.

„ Τὰ εἰς ιζω ὑπερδισύλλαβα καὶ περισπώμενον Μέλλοντα ποιοῦσιν· οἷον, κομίζω κομίσω καὶ κομιῶ ἀττικῶς.

## Περὶ τοῦ παθητικοῦ Ἐνεστῶτος.

„ Τὸ δεύτερον πρόσωπον τοῦ παθητικοῦ Ἐνεστῶτος καὶ Μέλλοντος διὰ τῆς ῃ διφθόγγου γράφεται· οἷον, τύπτομαι τύπτῃ· τύψομαι τύψῃ. πλὴν τοῦ βούλομαι βούλει, οἴομαι οἴει, ὄψομαι ὄψει.

## Περὶ τοῦ παθητικοῦ Παρακειμένου.

„ Ὅτε ὁ Ἐνεργητικὸς Παρακείμενος ἔχει τελικὸν χ, τότε ὁ παθητικὸς πρὸ τοῦ μαι προσλαμβάνει γ· οἷον, λέλεχα λέλεγμαι.

„ Ὅτε δὲ ἔχει φ, τότε ὁ παθητικὸς προσλαμβάνει καὶ ἕτερον μ· οἷον, γέγραφα γέγραμμαι.

„ Ὅτε δὲ ἔχει κ, ὁ παθητικὸς προσλαμβάνει σ· οἷον, λελάκτικα λελάκτισμαι· πέπεικα πέπεισμαι· ὁμοίως καὶ τῶν Περισπωμένων, εἰ βραχεῖ παραληκτεῖ· οἷον, τετέλεκα τετέλεσμαι. πλὴν τῶν ἐχόντων τὴν αυ καὶ ευ πρὸ τοῦ μαι· οἷον, πέπαυμαι, βεβασίλευμαι.

„ Ὅτε δὲ πρὸ τοῦ κ ἔχει γ, τότε ὁ παθητικὸς κοινῶς μὲν τρέπει αὐτὸ εἰς μ· οἷον, μεμίαγκα μεμίαμμαι· ἀττικῶς δὲ τρέπει αὐτὸ εἰς σ· οἷον, μεμόλυγκα μεμόλυσμαι.

„ Ὅτε δὲ παραλήγει εἰς τρε, ὁ παθητικὸς τρέπει αὐτὸ εἰς τρα· οἷον, τέτρεφα τέτραμμαι· τέθρεφα τέθραμμαι, ἔστρεφα ἔστραμμαι.

„ Ὅταν δὲ εὑρεθῇ π ἐν τῷ ἑνικῷ τρίτῳ προσώπῳ τοῦ παθητικοῦ Παρακειμένου καὶ Ὑπερσυντελίκου, τότε τρέπεται αὐτὸ ἰωνικῶς εἰς φ ἐν τῷ πληθυντικῷ τρίτῳ προσώπῳ, προσλαμβάνον καὶ α· οἷον, τέτυπται τετύφαται· ἐτέτυπτο, ἐτετύφατο.

„ Ὅταν δὲ εὑρεθῇ κ, τρέπεται αὐτὸ εἰς χ· οἷον, λέλεκται λελέχαται, ἐλέλεκτο ἐλελέχατο.

„ Ὅταν δὲ εὑρεθῇ σ, τρέπεται αὐτὸ εἰς δ· οἷον, πέφρασαι πεφράδαται· ἐπέφρασο ἐπεφράδατο.

Ἱκανὰ μὲν ταῦτα καὶ περὶ τῶν ῥημάτων τοῖς τὴν ἐπίτομον βουλομένοις βαδίζειν. τὰ δὲ πλείω καὶ περιεργότερα ἐν τοῖς συγγραφεῦσιν αὐτοῖς θηρευτέα· νῦν δὲ μεταβαίνωμεν εἰς τὸ τρίτον.

# ΤΗΣ ΚΑΤ' ἘΠΙΤΟΜΗΝ ΓΡΑΜΜΑΤΙΚΗΣ.

# ΒΙΒΛΙΌΝ Γ΄.

## ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ.

### Σύνταξις τοῦ Ὀνόματος.

Ἁπάντων τῶν Ὀνομάτων τὰ μὲν καθ' ἑαυτὰ κείμενα ἐπιθετικῶς μόνον συντάσσεσθαι θέλουσιν, ὁμοιογενῶς ὁμοιαρίθμως καὶ ὁμοιοπτώτως· οἷον, σοφὸς ἀνὴρ, σοφὴ γυνὴ, σοφὸν παιδίον· καὶ πρὸς γενικὴν κτητικῶς, ὁ οἶκος τοῦ Περικλέους, ὁ πατὴρ τοῦ Γεωργίου.

Τὰ δὲ πρὸς ἕτερον θεωρούμενα διαφόρως καὶ πρὸς τὰς πλαγίας πέφυκε φέρεσθαι· οἷον, Γενικῇ μὲν

Τὰ Στερητικὰ, ὀρφανὸς μητρὸς, ἄμοιρος δόξης.
Τὰ Πληρωτικὰ, εὔπορος χρημάτων, πλήρης σοφίας.
Τὰ Διαφορικὰ, Σωκράτης ἕτερος Πλάτωνος.
Τὰ Συγκριτικὰ, Σωκράτης σοφώτερος Πλάτωνος.
Τὰ Ὑπερθετικὰ, Σωκράτης σοφώτατος πάντων.

Δοτικῇ δὲ

Τὰ ἐξ ἴσου σχετικά· οἷον, φίλος, ἐχθρὸς, γεί-

των, ὁμοφυὴς, σύμψηφος, ὁμοιάριθμος, ἰσοςάσιος, ταυτοδύναμος ὁ δεῖνα τῷ δεῖνι.

Τὰ παθητικὰ ῥηματικά· οἷον, παιδεία τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δὲ ἀναφαίρετος, νόσῳ δὲ ἀδιάφθορος, γήρᾳ δὲ ἀλύμαντος.

Αἰτιατικῇ δὲ Ἀπαρεμφάτῳ.

Τὰ Ἀπροσδιόριςα μάλιςα τῶν Ἐπιθέτων· οἷον, σοφὸς τὰ πολεμικὰ, λευκὸς τὴν τρίχα· καλὸς ἰδεῖν, θαυμαςὸς εἰπεῖν· καὶ τὰ τοιαῦτα.

Περὶ Ἀναφορικῶν καὶ Ἀνταποδοτικῶν.

Τὰ δὲ Ἀναφορικὰ καὶ Ἀνταποδοτικὰ ἀδιαφόρως πρὸς ἄλληλα τάττονται, ὁτὲ μὲν ἡγούμενα, ὁτὲ δὲ ἑπόμενα· οἷον, τοιοῦτος ἦν ὁ Θεμιςοκλῆς, οἷος ὁ Περικλῆς· καὶ οἷος ὁ Μιλτιάδης, τοιοῦτος ὁ Λεωνίδας.

Περὶ τῶν Περιληπτικῶν.

Πάντα μὲν τὰ ὀνόματα συμφέρονται τοῖς ῥήμασι κατ' εὐθεῖαν ὁμοιαρίθμως, καὶ ὁμοιοπροσώπως· οἷον, ἐγὼ γράφω, σὺ ἀναγινώσκεις, ἐκεῖνος ἀκούει. ἡμεῖς διδάσκομεν, ὑμεῖς ἀκούετε, ἐκεῖνοι μανθάνουσι. πλὴν τῶν οὐδετέρων, ἅτε δὴ καὶ πρὸς ἑνικὸν ῥῆμα ἀπὸ πληθυντικοῦ φερομένων· οἷον τὰ παιδία παίζει. Τὰ δ' οὖν Περιληπτικὰ ἑνικῷ καὶ πληθυντικῷ ἀδιαφόρως συντάσσονται ῥήματι· οἷον ὁ δῆμος εἶπε, καὶ ὁ δῆμος εἶπον, τὸ μὲν πρὸς τὴν φωνὴν, τὸ δὲ πρὸς τὴν σημασίαν ἀναφερόμενα. Τὰ δὲ διὰ πληθυντικοῦ ἀριθμοῦ ἑνικόν τι σημαίνοντα,

ταῦτα κατὰ τὴν φωνὴν συντακτέα· οἷον, Ἀθῆναι φιλοσοφίᾳ διέπρεπον, οὐ διέπρεπεν. οὐ γὰρ ἂν εἴη πλατύτερον τοῦ κατηγορουμένου τὸ ὑποκείμενον. Καὶ ταῦτα μὲν περὶ τοῦ Ὀνόματος κατὰ τὴν ὑπόσχεσιν ἱκανά.

## ΠΕΡΙ ΡΗΜΑΤΟΣ.

Τοῦ δὲ Ῥήματος τὸ μὲν Προσωπικὸν, οἷον, λέγω· τὸ δὲ Ἀπρόσωπον, οἷον, χρὴ, εἴρηται, ἤκουσαι. τοῦ δ᾽ αὖ προσωπικοῦ τὸ μὲν, Ἐνεργητικόν· οἷον, τύπτω. τὸ δὲ, Παθητικόν· οἷον, τύπτομαι. τὸ δὲ, Οὐδέτερον· οἷον, ὑγιαίνω. τὸ δὲ, Μέσον· οἷον, λούομαι. τὸ δὲ, Ἐπίμεσον· οἷον, μάχομαι.

Εἴει δ᾽ οὖν ταῦτα πενταχῶς συντασσόμενα, Ἀπολύτως, Ἁπλῶς, Συγκειμένως, Ἐπιβατικῶς, καὶ Προθετικῶς.

Καὶ Ἀπόλυτον μὲν εἶδος ἂν εἴη συντάξεως, ὅτε τὸ ῥῆμα κεῖται καθ᾽ ἑαυτὸ, πρὸς μηδὲν ἀποτεινόμενον ἕτερον· ὧδε, τύπτω, λέγω, διδάσκω. ταῦτα γὰρ οὐδὲν σημαίνουσιν ἕτερον, ἢ τὸ μὲν, τὴν τύψιν· τὸ δὲ, τὸν λόγον. τὸ δὲ, τὴν διδαχήν.

Ἁπλοῦν δὲ τὸ καὶ ἐκ τρίτου τὶ συνεφέλκον, πρὸς ὃ ἡ μετάβασις τοῦ ῥήματος γίνεται· οἷον, ἐγὼ διδάσκω σέ.

Συγκείμενον δὲ, ὅτε πρὸς τῷ ἐκ τρίτου καὶ ἐκ τετάρτου πρόσκειταί τι. οἷον· ἐγὼ διδάσκω σὲ γραμματικά.

Ἐπιβατικὸν δὲ, ὅτε ἡ ἐκ τρίτου πτῶσις οὐπρόσκειται· οἷον, ἐγὼ διδάσκω — γραμματικά.

Προθετικὸν δὲ, ὅτε πτῶσις παραλαμβάνοιτο, ὑπὸ τῆς συντεθειμένης τῷ ῥήματι προθέσεως συναπαιτουμένη. οἷον· περιέζησάν με ἐκ φθόνου συκοφάνται καὶ ὀνυχοτρῶκται πολλοὶ, καὶ κατεῖπόν μου ἀνομίας.

Συμπάντων δ᾽ οὖν τῶν Ῥημάτων τὰ μὲν εἰσὶ μεταβατικὰ, τὰ δὲ ἀμετάβατα. καὶ αὖ πάλιν, τὰ μὲν κατ᾽ ἐκπομπὴν ἐνεργοῦντα, ὡς ἔσωθέν τι προβάλλοντα. τὰ δὲ κατ᾽ εἰσπομπὴν, ὡς ἔξωθεν λαμβάνοντά τι. τὰ δὲ κατὰ περιποίησιν. κἀντεῦθεν προκύπτουσιν εἴδη ἁπλᾶ τῆς Συντάξεως τρία.

Πρῶτον μὲν τὸ κατ᾽ ἐκπομπὴν πρὸς Αἰτιατικὴν συντασσόμενον· οἷον, ἐγὼ διδάσκω σε. ὑφ᾽ ὃ τάττονται τά τε κατὰ τὸ σῶμα καὶ κατὰ ψυχὴν ἐνεργοῦντα· οἷον, νίπτω, κτίζω, ῥάπτω, κόπτω, γράφω. Ἀγαπῶ, δικαιῶ, ἀδικῶ, ἀσπάζομαι, τιμῶ.

Δεύτερον δὲ τὸ κατ᾽ εἰσπομπὴν πρὸς γενικὴν φερόμενον· οἷον, δέομαί σου. οὗ τόποι τέσσαρες μάλιςα.

Τὰ κατ᾽ αἴθησιν Ἀναληπτικὰ καὶ Ἐφετικά· οἷον, αἰσθάνομαι, ἀκούω, γεύομαι, ὀσφραίνομαι. Ἐπιθυμῶ, ἐφίεμαι.

Τὰ καθ᾽ ὑπεροχὴν Ἀντιληπτικὰ καὶ Ἀρχικά· οἷον, ἀντιλαμβάνομαι, περιέχομαι. Βασιλεύω, ἄρχω.

Τὰ Φροντιςικὰ καὶ Κτητικά· οἷον, φροντίζω, μέμνημαι, φείδομαι. Εὐπορῶ, ἀπολαύω, πληθύω.

Τὰ Διαφορικὰ καὶ Ἀποςηματικά· οἷον, διαφέρω, διαλλάττω. Ἀπέχω, δέω, χρήζω, ἁμαρτάνω.

Τὸ δὲ τρίτον αὖθις τὴν κατὰ Δοτικὴν ἔλαχε σύνταξιν, κἀντεῦθεν Περιποιητικὸν ὀνομάζεται· οἷον, ἐγὼ δίδωμί σοι. οὗ τόποι καὶ τούτου τέσσαρες.

Τὰ κυρίως Περιποιητικά· δίδωμι, λέγω.

Τὰ Ἀλληλοπαθῆ· πολεμῶ, ἀγωνίζομαι.

Τὰ Ἀντιςατικά· ἐναντιοῦμαι, ὀργίζομαι.

Τὰ Ὑπουργικά· δουλεύω, λατρεύω, ὑπηρετῶ.

Ἐπὶ δὲ τούτοις τακτέον τὸ συγκείμενον ἐκ τετάρτου. ὅπερ εἰς πέντε ἂν εἴδη καὶ τοῦτο ὑποδιέλοις ὧδε.

Πρῶτον μὲν τὸ Διαβατικὸν τὸ πρὸς Αἰτιατικὴν ἐκ τετάρτου φερόμενον· οἷον, ἐγὼ διδάσκω σὲ γραμματικά.

Δεύτερον δὲ τὸ πρὸς Γενικὴν Αἰτιολογικόν· οἷον, ἐπαινῶ Σωκράτην τῆς ἀρετῆς.

Τρίτον δὲ τὸ Ὀργανικὸν πρὸς Δοτικήν· οἷον, κόπτω τὸν ἄρτον τῇ μαχαίρᾳ, εἷλον τὴν πόλιν βίᾳ.

Τέταρτον δὲ τὸ Τελικὸν ἢ Εἰδικὸν πρὸς Ἀπαρέμφατον· οἷον, κελεύω σοὶ ἐλθεῖν, λέγουσι Σωκράτην γεγονέναι σοφόν.

Πέμπτον δὲ τὸ Ἐλλειπτικὸν ἐπὶ τῶν τριῶν πλαγίων τιθέμενον, ὡς εἰκός. ἐν Γενικῇ μὲν οὕτω. μεταδίδωμί σοι (ἐκ) τοῦ περισσεύοντος. Δοτικῇ δὲ, μίγνυμι χρυσὸν (σὺν) ἀργύρῳ, καὶ (ἐπὶ) φθόνῳ με διαβάλλουσι συκοφάνται. Αἰτιατικῇ δὲ, διδάσκω σε χρόνον συχνόν.

## Περὶ Παθητικοῦ.

Τὸ δὲ Παθητικὸν τῇ ἐκ τρίτου Γενικῇ προθετοπτώτῳ, ἢ τῇ μεταλαμβανομένῃ Δοτικῇ αἰτιωδῶς

συντακτέον· οἷον, σὺ διδάσκῃ ὑπ' ἐμοῦ, καὶ συγγέγραπταί μοι βιβλίον περὶ συντάξεως.

## Περὶ τῶν Οὐδετέρων.

Τῶν δὲ Οὐδετέρων εἰς ἓξ εἴδη ὑποδιαιρουμένων, εἰς Αὐτοουδέτερον, Ὑπαρκτικὸν, Ὁλοενεργητικὸν, Κτητικὸν, Περιποιητικὸν, καὶ Αὐτοπαθητικὸν, τὸ μὲν Αὐτοουδέτερον, ἅτε καθ' ἑαυτὸ κείμενον, Ἀπολύτως εὐθείᾳ ἐκ πρώτου μόνῃ συντάσσεται· οἷον, ἐγὼ ὑγιαίνω, ζῶ.

Τὸ δὲ Ὑπαρκτικὸν ἐκ πρώτου καὶ ἐκ τρίτου εὐθείᾳ· οἷον, Ἀριςείδης ἦν δίκαιος.

Τὸ δὲ Ὁλοενεργητικὸν ἐντελῶς μὲν πρὸς Αἰτιατικήν· οἷον, πλέω τὴν θάλασσαν· ἀτελῶς δὲ, προθετοπτώτως· οἷον, τρέχω εἰς τὴν ἀγοράν.

Τὸ δὲ Κτητικὸν Γενικῇ ὡς τὸ δεύτερον τῶν ἁπλῶν· οἷον, χρήζω, εὐπορῶ, ἀμοιρῶ χρημάτων.

Τὸ δὲ Περιποιητικὸν Δοτικῇ ὡς τὸ τρίτον· οἷον ὑποχωρῶ, εἴκω σοι.

Τὸ δὲ Αὐτοπαθητικὸν ἕξει τὴν αὐτὴν σύνταξιν τοῖς παθητικοῖς· οἷον πάσχω ὑπὸ τοῦ συκοφάντου.

## Περὶ τοῦ Μέσου.

Τῶν δὲ Μέσων εἰς Αὐτοτελὲς, καὶ Ἀντιμεταβατικὸν διαιρουμένων, τὸ μὲν Αὐτοτελὲς ἀπολύτως κεῖται ἐν τῇ συντάξει· οἷον, λούομαι, τρέφομαι, ἐνδύομαι. Τὸ δὲ Ἀντιμεταβατικὸν, εἴτ' οὖν Ἀντίςροφον, καὶ μεταβατικῶς οὑτωσί· οἷον, ἀφαιροῦμαι σὲ τὰ ἱμάτια, τρέπομαι τοὺς ἐχθροὺς εἰς φυγὴν, οἰκοδομοῦμαι οἰκίαν, διδάσκομαι τὸν παῖδα.

## Περὶ τοῦ Ἐπιμέσου.

Ὡσαύτως δὲ καὶ τῶν Ἐπιμέσων, τὸ μὲν ἐςὶν Αὐτοτελές· ὅπερ Ἀπολύτως μὲν, ὡς τὸ, κεῖμαι, κοιμῶμαι, γίνομαι. Αὐτοενεργητικῶς δὲ, ὡς τὸ, ἔρχομαι, πορεύομαι εἰς τὴν ἀγορὰν κατὰ τὰ Ὁλοενεργητικὰ ἐςὶ συντασσόμενον. τὸ δὲ, Ἀντιμεταβατικὸν καὶ αὐτό· οἷον, αἰσθάνομαι βροντῆς πυροβόλων, χρῶμαι τοῖς βιβλίοις, κτῶμαι ἀγρόν. καὶ ὅλως αὐτὰ κατὰ τὰ Ἐνεργητικὰ συντακτέα. Τὸ δὲ, Ἀλληλοπαθὲς, καὶ τὴν κατὰ Δοτικὴν εἴληχε σύνταξιν ὡς εἰκός· οἷον, μάχομαί σοι, ἀγωνίζομαι, ἐναντιοῦμαι· ὃ καὶ εἰς Αἰτιατικὴν ἂν προθετόπτωτον μεταβάλοι· οἷον, μάχομαι πρὸς τοὺς πολεμίους.

## Περὶ τῶν Ἀπροσώπων.

Τὰ δὲ Ἀπρόσωπα τριχῆ ἐν τῇ συντάξει ποικίλλεται. καὶ πρῶτον μέν ἐςι τὸ πρὸς Γενικὴν κτητικῶς καὶ ἅμα Δοτικὴν περιποιητικῶς συντασσόμενον· οἷον, μετεςί μοι τούτου, δεῖ μοι τούτου, μέλει μοι τούτου.

Τὸ δὲ δεύτερον, Δοτικῇ περιποιητικῶς καὶ ἅμα Ἀπαρεμφάτῳ· οἷον, ἔξεςι, δοκεῖ, προσήκει μοὶ γράφειν.

Τὸ δὲ τρίτον, Ἀπαρεμφάτῳ μόνῳ· οἷον φιλεῖ γενέσθαι, δεῖ με γράφειν, χρή σε μαθεῖν.

## Περὶ Ἀπαρεμφάτου.

Τοῦ δὲ Ἀπαρεμφάτου εἰς Τελικὸν καὶ Εἰδικὸν

διαιρουμένου, τὸ μὲν Τελικὸν τοῖς Προαιρετικοῖς τῶν Ῥημάτων πέφυκε μάλις ἀκολουθεῖν κατά τε Ἐνεστῶτα καὶ Παρῳχημένον· οἷον, προαιροῦμαι γράφειν, θέλω εἰπεῖν. τὸ δὲ Εἰδικὸν τοῖς Γνωστικοῖς, Ἀφηγηματικοῖς, καὶ Δοξαστικοῖς κατὰ τὸ τριμερὲς τοῦ χρόνου πέφυκεν ἐπιφέρεσθαι· οἷον, δοκῶ, φημὶ, οἴομαί σε ἐπιδιδόναι, ἐπιδοῦναι, ἐπιδώσειν. οὐδὲ τοῦτο μέντοι ἐν γένει. τῶν γὰρ Ἀφηγηματικῶν τὰ Ἐπαγγελτικὰ, καὶ Ἀπειλητικὰ, καὶ τῶν Δοξαστικῶν τὰ Ἐλπιστικὰ, πρὸς τὸ μέλλον ἀεὶ πέφυκεν ἀποτείνεσθαι.

## Περὶ Μετοχῆς.

Ἡ δὲ Μετοχὴ, ὡς μετέχουσα μὲν τοῦ Ὀνόματος ὡς ὄνομα ἕξει τὴν σύνταξιν πρὸς τὸ ῥῆμα· οἷον, ὁ ἐπιμελούμενος ἐπιδίδωσιν· ὡς δὲ ῥῆμα αὖθις, τὴν τοῦ ῥήματος ἕξει διάφορον σύνταξιν κατὰ τὰ εἰρημένα· οἷον, ὁ μιμούμενος τοὺς ἐν λόγοις ἐπαινουμένους, ἐπιδώσει ἐν τούτοις.

Αὕτη δὲ ταυτοπροσωποῦσα μὲν τῷ ῥήματι, ἀπ' εὐθείας ἐπάγεται· οἷον, χαίρων συγγράφω· ἑτεροπροσωποῦσα δὲ, κατὰ Γενικήν· οἷον, ἐμοῦ διδάσκοντος, σὺ μανθάνεις. πλὴν ἐπὶ τῶν Ἀπροσώπων. ταῦτα γὰρ κατ' εὐθεῖαν ἀπολύτως ἐπάγονται· οἷον, ταῦτα ἔπρασσον, δέον ἕτερα.

## Περὶ Ἄρθρου.

Τὸ δὲ Ἄρθρον προτίθεται τῶν ὀνομάτων ἀεί. προτιθέμενον δὲ καὶ τῶν Μεριστικῶν καλουμένων συνδέσμων, τὰς Ἀρθρικὰς Ἀντωνυμίας ποιεῖ· οἷον,

Ὁ μὲν, Ὁ δέ. αἷς περ χρώμεθα ἐν τοῖς Ἐπιμερισμοῖς διτταχῶς ὧδε μάλιστα.

Ἢ προληφθέντος τοῦ Ῥήματος ἐν τῷ ἀθροίσματι τῶν ὀνομαζομένων, καὶ ἀπὸ κοινοῦ τοῦ αὐτοῦ κατηγορουμένου καὶ εἰς τὰ μέρη· οἷον, ἀγαπῶ πάντας τοὺς ἐμαυτοῦ μαθητάς· τὸν μὲν, δι' ἐπιμέλειαν· τὸν δὲ, δι' εὐφυΐαν· τὸν δὲ, δι' ἐπιείκειαν· τὸν δὲ, δι' εὐπείθειαν· καὶ τοῦτο οὕτω γενήσεται καθ' ἣν ἂν Πτῶσιν ἀπαιτοίη τὸ Ῥῆμα.

Ἢ κατὰ Γενικὴν τοῦ ἀθροίσματος γενομένου, καὶ ῥήματος ὁτουοῦν διαφόρου ταττομένου ἑξῆς εἰς τὰ μέρη· οἷον, τῶν λειποτακτησάντων στρατιωτῶν ὁ μὲν τὴν δίκην διέφυγε· τοῦ δὲ κατέγνωσαν θάνατον. τῷ δὲ, ὡς κακῷ γενομένῳ, δειλίαν ἐπονειδίζουσι· τὸν δὲ ἐμαστίγωσαν· καὶ ὅπως ἂν ἄλλως ἡ τοῦ ῥήματος μετάβασις ἀπαιτῇ.

## Περὶ Ἀντωνυμίας.

Ἡ δὲ Ἀντωνυμία, ἀντὶ ὀνόματος ἐν τῷ λόγῳ παραλαμβανομένη, τὴν αὐτὴν τοῖς ὀνόμασι πρὸς τὰ ῥήματα ἔχει σύνταξιν.

## Περὶ Ἀναφορικῆς.

Ἡ δὲ Ἀναφορικὴ Ὅς (*) καὶ ἀνορθωτικὴ λόγου

---

(*) Ἡ Ἀναφορικὴ Ὅς κἂν τῇ δευτέρᾳ τῆς Τερψιθέας ἐκδώσει μετετέθη ἐνταῦθα, ἀποσπασθεῖσα τῶν Ἄρθρων. εἴη γὰρ ἂν μᾶλλον Ἀναφορικὴ, ἢ ἡ Αὐτός· ἥτις Ἐπαναληπτική τις μᾶλλον ἔοικεν οὖσα, ἢ Ἀνα-

γίνεται, ἐπαγομένη μὲν ἀναφορικῶς τοῖς ὀνόμασι ὁμοιογενῶς καὶ ὁμοιαρίθμως· οἷον, μακάριος ἀνὴρ,

---

φορική, τῶν ἀντονομαζομένων. τὰ γὰρ Ἀναφορικὰ πάντα καὶ Ἀνταποδοτικὰ πέφυκεν ἔχειν· οἷον, τοσοῦτον ὅσον, τοιοῦτον οἷον, τότε ὅτε, οὕτως ὥσπερ, Ἐκεῖνος Ὅς τις· τὰ αὐτὰ δὲ καὶ ἀνορθωτικὰ λόγου γίγνεται· ἡ δὲ Αὐτὸς ἐπανάληψιν μόνου τοῦ ἀντονομαζομένου ποιοῦσα, ἀμοιρεῖ τῶν τοιούτων ἰδιοτήτων, καὶ οὐθὲν ἐθέλει προσίεσθαι. λέγομεν γὰρ οὑτωσὶ Ἀναφορικῶς. Μακάριος ἀνὴρ ἐκεῖνος, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. Ἐπαναληπτικῶς δὲ ὧδε. Ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, Αὐτὸς μακάριός ἐστιν. Ἐνταῦθα τοίνυν Ἐπαναληπτική τις ἂν εἴη ἡ Αὐτὸς, καὶ Ἐπιβεβαιωτική πως τοῦ προσώπου, πρὸς ὃ τὸ Ὃς ἀναφέρεται. ἀλλ' ἐπιφέρει τις, ὅτι καὶ τὸ Προτακτικὸν Ἄρθρον Ἀναφορικόν τι ἐστὶ, καὶ ὁ Θεόδωρος ἔφη προεγνωσμένου τινὸς ἀναπόλησιν ἔχειν· ὅθεν καὶ εἰς τὸ Ὑποτακτικὸν τουτὶ ἀναλύεται· οἷον τὸ, Μακάριος ὁ μὴ πορευθεὶς, εἰς τὸ, Μακάριος, ὃς οὐκ ἐπορεύθη. ἀλλ' ἑκάτερον, οἶμαι, τούτων πρὸς ἕτερόν τι ἐγγύτερον ἀποδίδοται, τὸ μὲν Προτακτικὸν πρὸς τὸ πρόσωπον, δυνάμει προσδιορίζον αὐτό· τὸ δὲ Ὃς, πρὸς τὸ, Ἐκεῖνος, ἀμέσως καὶ φύσει ἀναφερόμενον πρὸς αὐτό· οἷον ἂν εἴποι τις οὑτωσί. Μακάριος ἀνὴρ ἐκεῖνος ὁ μὴ πορευθεὶς, ἐκεῖνος δηλονότι, ὃς οὐκ ἐπορεύθη. ὥστε τὸ, Ὁ μὴ πορευθεὶς προσδιορίζειν τὸν εὐσεβῆ· τὸ δὲ Ὃς, ἀναφέρεσθαι εἰς τὸ Ἐκεῖνος. Καί φημὶ κἀπόφημι, κοὐκ ἔχω τί φῶ.

ὃν ἀγαπᾷ κύριος. προτιθεμένη δὲ τῶν ῥημάτων ἀδιαφόρως κατὰ τὴν χρείαν· οἷον, ἀγαπῶ τὸν Δημήτριον· ὃς ἐπιμελεῖται. λαμβάνεται δὲ ἤδη ἐν τῷ λόγῳ πολλάκις καὶ ἀντὶ τῶν Ἀορίστων ὧδε. εἰσὶν οἳ, ἔστιν οἳ, ἔστιν ὧν, ἔστιν οἷς, ἔστιν οὓς. ἀντὶ τῶν, τινὲς, τινῶν, τισὶ, τινάς.

Ἐν δὲ τοῖς Ἀττικισμοῖς τριχῶς ἡ αὐτὴ ἐκλαμβάνεται. ἢ ἐπειδὰν ἀποδιδῶται πρὸς τὸ ἡγούμενον ῥῆμα· ὡς τὸ, χρῶμαι, οἷς ἔχω βιβλίοις· ἢ ἐπειδὰν σχῇ τὸ φύσει ἡγούμενον πτωτικὸν, ὕστερον τῇ τάξει τιθέμενον· ὡς τὸ, τίς ἐστιν, ἣν σοι ἔστειλε βίβλον; καὶ σοφός ἐστιν, ὃν ὁ Σόλων πρὸς Κροῖσον εἴρηκε λόγον, τὸ τέλος τοῦ μακροῦ βίου βλέπειν. ἢ ἐπειδὰν ἀπωσαμένη τὸ γένος τοῦ ἡγουμένου οὐσιαστικοῦ, πρὸς ὃ ἀνεφέρεται, τὸ τοῦ ἑπομένου ἀναλαμβάνῃ· ὡς τὸ, πόλεις εἰσὶν ἐκεῖναι, οὓς φαυλεοὺς εἶναι νομίζεις.

## Περὶ Συνθέτου.

Ἡ δὲ Σύνθετος διτταχῶς ἐκλαμβάνεται ὧδε. ἢ ἐπειδὰν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ· ὡς τὸ, ἀγαπῶ ἐμαυτόν. ἢ ἐπειδάν τις πρός τι τῶν ἑαυτοῦ ἐνεργῇ· ὡς τὸ, ἀγαπῶ τοὺς ἐμαυτοῦ μαθητάς. ὅπερ καὶ ἀντιστρόφως ὡσαύτως ἔχει· οἷον, οἱ ἐμαυτοῦ μαθηταὶ ἀγαπῶσιν ἐμέ.

Ἐπὶ δὲ τῶν πληθυντικῶν τὴν Ἀναφορικὴν τῇ πρωτοτύπῳ ἐπισυνάπτοντες, τὴν χρείαν ἀναπληροῦμεν, ὧδε· ἡμῶν αὐτῶν, ἡμῖν αὐτοῖς, ἡμᾶς αὐτοὺς, κατὰ τὴν τοῦ ῥήματος ἀκολούθησιν. ὡς δ' αὔτως κἀν τοῖς ἄλλοις προσώποις τὰ οἰκεῖα ἐπιτα-

κτέον. ἔξεςιν ἀλλ' οὖν εἰπεῖν καὶ ἐν πληθυντικῷ κατὰ πᾶν πρόσωπον οὕτως· ἑαυτῶν, ἑαυτοῖς, ἑαυτούς· οἷς ὁμοίως πως ἔχει καὶ τὸ Ἀλληλοπαθὲς, ἀλλήλων, ἀλλήλοις, ἀλλήλους, ἐν ταῖς ἀντενεργείαις, εἴτ' οὖν ἀλληλοπαθείεις ἀεὶ λαμβανόμενον.

## Περὶ Προθέσεως.

Τῶν δὲ Προθέσεων ἡ μὲν Ἐν ἀεὶ Δοτικῇ συντάσσεται, ἠρεμίαν σημαίνουσα· οἷον, ἐν οἴκῳ· ἐν ἀγορᾷ. καὶ τρόπον, ἐν βίᾳ γράφω, ἐν εὐμενείᾳ λαλεῖ.

Ἡ δὲ Εἰς, Αἰτιατικῇ, σημαίνουσα κίνησιν. εἰς ἐκκλησίαν ἔρχομαι· καὶ τὸ τελικόν· εἰς τὶ ταῦτα πράττεις; καὶ χρόνου· εἰς ἡμᾶς ἀπεσώθη.

Ἡ δὲ Ἐκ, Γενικῇ, τὴν ἀπὸ τόπου σημαίνουσα κίνητιν· ἥκει ἐξ ἀγορᾶς· καὶ αἴτιον παλλαχῇ, ἐκ τοῦ ὁρᾷν τὸ ἐρᾷν· καὶ τὸ ὑλικὸν, ἐκ χρυσοῦ ςέφανος· καὶ τὸ ὕςερον, ἐκ τούτου εἶπε καὶ ἕτερα. ἐν δὲ τῇ συνθέσει σημαίνει ἐπίτασιν, ἐκπρεπής· καὶ τὸ ἔξω, ἐξῆλθεν.

Ἡ δὲ Σὺν, Δοτικῇ, τὸ ὁμοῦ σημαίνουσα· οἷον, συνέρχομαι, σὺν θεῷ.

Ἡ δὲ Πρὸς, Γενικῇ μὲν, ὅταν σημαίνῃ τὴν ἀπὸ προσώπου κίνησιν· οἷον, πρὸς θεοῦ τὰ ἀγαθά· καὶ ἐπὶ ὅρκου πολλάκις, πρὸς θεῶν· καὶ τὸ καθῆκον, οὐ πρὸς ἰατροῦ σοφοῦ· καὶ τὸ ἐνώπιον, πρός τε θνητῶν ἀνθρώπων πρός τε θεῶν μακάρων. Δοτικῇ δὲ, τὸ πλησίον, πρὸς τοῖς ποσί. Αἰτιατικῇ δὲ, κίνησιν πρὸς ἔμψυχον μάλιςα, ἔρχομαι πρὸς σέ. καὶ σύγκρισιν, μηδὲν ἡ γῆ πρὸς τὸ πᾶν· καὶ παράδειγμα, πρὸς αὐλὸν ᾄδει. καὶ τὸ τελικὸν, πρὸς ἀργύριον

δημηγορεῖ· καὶ ἐπιῤῥηματικῶς πολλαχῆ, πρὸς βίαν, πρὸς ὀργήν.

Ἡ δὲ Πρὸ, Γενικῇ, τόπον ἢ χρόνον σημαίνουσα, πρὸ τῶν θυρῶν, πρὸ τοῦ πολέμου· καὶ τὸ μᾶλλον, πρὸ πολλῶν χρημάτων. ἐν δὲ συνθέσει τὸ ἔξω, προέρχομαι τῆς οἰκίας.

Ἡ δὲ Ἀνὰ, Αἰτιατικῇ, τὸ καθ' ἕκαςον σημαίνουσα μάλιςα, ἔδωκε ἑκάςῳ ἀνὰ πάντε βιϐλία. ἐν δὲ τῇ συνθέσει τὸ πάλιν, ἀνακαλεῖ τὴν μάχην· καὶ τὸ ἄνω, ἀνέρχομαι.

Ἡ δὲ Κατὰ, Γενικῇ μὲν ἐπὶ καταφορᾶς· κατ' Αἰσχίνου ὁ λόγος· καὶ τὸ ἐπάνω πως, κατὰ γῆς κάθημαι. Αἰτιατικῇ δὲ, ὁμοιότητα· κατὰ Δημοσθένη γράφει· καὶ χρόνον, καθ' ἡμᾶς ἐγένετο· καὶ τὸ καθ' ἕκαςον· κατ' ἔτος, κατὰ κεφαλὴν φόρους ἀπῄτει· καὶ μέρος, κατά τι.

Ἡ δὲ Διὰ, Γενικῇ μὲν, τὸ μέσον δηλοῦσα, διὰ σοῦ ταῦτα γίνεται· καὶ πορεύομαι διὰ τῆς ἀγορᾶς. Αἰτιατικῇ δὲ, τὸ αἴτιον. διὰ σὲ ταῦτα γράφω. ἐν δὲ τῇ συνθέσει, διαίρεσιν· διαζευγνύω.

Ἡ δὲ Μετὰ, Γενικῇ μὲν, τὸ ὁμοῦ, ἡδὺς μετα φίλων ὁ βίος. Αἰτιατικῇ δὲ, τὸ ὕςερον, μετὰ τὸν Σωκράτην ὁ Πλάτων. ἐν δὲ τῇ συνθέσει, μεταϐολήν· μεθίςαμαι, μεταϐάλλω· καὶ μετουσίαν, μετέχω.

Ἡ δὲ Παρὰ, Γενικῇ μὲν, τὴν ἀπὸ προσώπου κίνησιν· παρὰ θεοῦ τὰ ἀγαθά· καὶ τὸ ποιητικὸν, παρὰ σοῦ ταῦτα ἔμαθον. Δοτικῇ δὲ, τὸ ἐγγὺς ἐπὶ ἐμψύχου. παρ' ἐμοὶ διατρίϐει. Αἰτιατικῇ δὲ, τὸ ἔξω σκοποῦ· παρὰ γνώμην συμϐαίνει· καὶ τὸ ἐγ-

γὺς, παρὰ τὸν ποταμὸν χωρεῖ. ἐν δὲ τῇ συνθέσει τὸ πλησίον, παρεδρεύω. καὶ ὀλιγωρίαν τινὰ, παρορῶ, παραβλέπω.

Ἡ δὲ Ἀντὶ, Γενικῇ, ἕτερον ἀνθ᾿ ἑτέρου ἴσον σημαίνουσα, ἀντὶ πολλῶν ταῦτα τίθεμαι. καὶ τὸ τελικὸν, ἀνθ᾿ ὅτου ταῦτα λέγεις. καὶ τὸ μᾶλλον, ἀντὶ πολλῶν χρημάτων τὰς μούσας ὑμᾶς ἑλέσθαι νομίζω. καὶ οἰκειοποίησιν ἐν τῇ συνθέσει, ἀντιποιοῦμαι τῆς βίβλου.

Ἡ δὲ Ἐπὶ, Γενικῇ μὲν, χρόνον δηλοῦσα. ἐπὶ Ποντίου Πιλάτου ἐσαυρώθη ὁ Χριςός. καὶ τὸ ἐπάνω, τὰ ζῶα ἐπὶ τῆς γῆς· καὶ κίνησιν ἀττικῶς· ἐπὶ Βαβυλῶνος πορεύεται. Δοτικῇ δὲ, τὸ τελικὸν αἴτιον. ἐπ᾿ ὠφελείᾳ τῶν νέων ταῦτα γράφω· καὶ τὸ ποιητικὸν, ἐπ᾿ ἀρετῇ καὶ ἐπιμελείᾳ ἐπλούτησε· καὶ ἐξουσίαν, ἐπὶ σοὶ κεῖται ἐπιδιδόναι· καὶ τὸ ὕςερον, ἐπὶ τούτοις καὶ ἄλλα εἶπεν. Αἰτιατικῇ δὲ, κίνησιν ἐπὶ ἀψύχου· τρέχω ἐπὶ τὴν ἀγοράν· καὶ τὸ ἐναντίον, ἐπὶ τοὺς πολεμίους ἐπῆγε τὴν φάλαγγα. καὶ τὸ τελικὸν, ἐφ᾿ ἁρπαγὴν ἠκολούθουν πολλοί.

Ἡ δὲ Περὶ, Γενικῇ μὲν, τὸ τελικὸν σημαίνουσα αἴτιον· περὶ σοῦ ὁ λόγος ἐγένετο. Δοτικῇ δὲ ἐπὶ τῶν φόβου σημαντικῶν ῥημάτων, δέδοικα περὶ τῷ παιδὶ, μήτι πάθῃ κακόν. Αἰτιατικῇ δὲ τὸ πέριξ. περὶ τὴν πόλιν τὸ ςράτευμα· καὶ τὸ ἐγγύς που, περὶ τὴν Ἀλεξάνδρειαν ἀκούεται εἶναι.

Ἡ δὲ Ἀμφὶ, Αἰτιατικῇ ὁμοιοσήμως τῇ Περί· ἀμφὶ ταῦτα ἔχει· καὶ περιφρασικῶς, οἱ ἀμφὶ Κῦρον, οἱ περὶ Κῦρον.

Ἡ δὲ Ἀπὸ, Γενικῇ, τὴν ἀπὸ τόπου μάλιςα ση-

μαίνουσα κίνησιν· πρέσβεις ἦλθον ἀπὸ τῆς Σικελίας· καὶ χρόνον, ἀπὸ νεότητος· καὶ μεταβολὴν, Ἄρχων ἐγένετο ἀπὸ ἰδιώτου. ἐν δὲ τῇ συνθέσει, τὸ πόῤῥω· ἀπεδήμησεν, ἀπεγένετο· καὶ ὀφειλὴν, ἀπαιτεῖ, ἀποδίδωσι.

Ἡ δὲ Ὑπὸ, Γενικῇ μὲν, τὸ ποιητικόν· ὑπὸ πενίας οὐκ εὐεργετεῖ. Δοτικῇ δὲ καὶ Αἰτιατικῇ, τὸ ὑποκάτω, ὑπὸ δένδρῳ, ὑπὸ δένδρον κάθηται. ἐν δὲ συνθέσει τὸ κρύφα καὶ ὕφεσιν· ὑπεξῆλθεν, ὑποκινεῖται.

Ἡ δὲ Ὑπὲρ, Γενικῇ μὲν, τὸ τελικόν· ὑπὲρ Κτησιφῶντος ὁ λόγος. Αἰτιατικῇ δὲ τὸ πλέον· ὑπὲρ ἄνθρωπον φρονεῖ· καὶ τὸ ἐπέκεινα, ὑπὲρ τὴν Μακεδονίαν ἡ Θρᾴκη.

## Περὶ Ἐπιῤῥήματος.

Τῶν Ἐπιῤῥημάτων πρός τε τὰ ὀνόματα καὶ τὰ ῥήματα ἐχόντων τὴν σύνταξιν, εἴπωμεν χωρὶς περὶ ἑκατέρων ὧδε.

Τὰ μὲν πρὸς τὰ ὀνόματα ἀναφερόμενα συνάσσεται οὕτω, Γενικῇ μέν.

| | |
|---|---|
| Τὰ Χρονικά. | ποτὲ τοῦ χρόνου. |
| Τὰ Τοπικά. | πόῤῥω τῆς οἰκίας. |
| Τὰ Συγκριτικά: | μᾶλλον τῶν ἄλλων. |
| Τὰ Ὑπερθετικά. | μάλιςα, ἥκιςα πάντων. |
| Τὰ Ἐπικρυπτικά. | Λάθρα τῶν ἄλλων. |
| Τὰ Διαιρετικά. | χωρὶς τῶν ἄλλων. |
| Τὰ ποσοτικά. | δὶς τρὶς τῆς ἡμέρας. |
| Τὰ Τακτικά. | ἐφεξῆς τοῦ ἑνὸς τὰ δύο. |
| Τὰ Θαυμαςικά. | ὢ τοῦ θαύματος. |
| Τὰ Σχετλιαςικά. | φεῦ τῶν κακῶν. |

Δοτικῇ δὲ

| | |
|---|---|
| Τὰ Ἀθροιςικά. | ἅμα ὁμοῦ τοῖς ἄλλοις. |

Αἰτιατικῇ δὲ

| | | |
|---|---|---|
| Τὰ Ὀμοτικά. . . | νὴ Δία | καταφατικῶς |
| | μὰ Δία | ἀποφατικῶς. |

Ἔςι δ᾽ ἃ τὴν τῶν, ἐξ ὧν παράγονται ὀνομάτων ἢ ῥημάτων μιμοῦνται σύνταξιν· οἷον,

Γενικῇ μὲν

| | |
|---|---|
| Ἀξίως λόγου. | ὅτι καὶ ἄξιος λόγου |
| Ὀλιγωρητέον χρημάτων. | ὅτι καὶ ὀλιγωρῶ χρημάτων |

Δοτικῇ δὲ

| | |
|---|---|
| Ὁμοίως τοῖς ἄλλοις. | ὅτι καὶ ὅμοιος τοῖς ἄλλοις. |
| Δοτέον σοὶ ἀργύριον. | ὅτι ϗ δίδωμί σοι ἀργύριον. |
| Χρηςέον τοῖς βίβλοις. | ὅτι ϗ χρῶμαι τοῖς βίβλοις. |

Αἰτιατικῇ δὲ

| | |
|---|---|
| Γραπτέον ταῦτα. | ὅτι καὶ γράφω ταῦτα. |

Καὶ ταῦτα μὲν πρὸς τὸ ὄνομα. τῶν δὲ πρὸς τὰ ῥήματα συντασσομένων τὸ Νῦν καὶ Σήμερον πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντάσσονται. νῦν πειρᾶται, νῦν ἥξει, νῦν ἐνίκησε. τὸ δὲ Ἄρτι καὶ τὰ ἰσοδύναμα παρῳχημένῳ· ἄρτι πεποίηκε. τὸ δὲ Αὐτίκα, Εἰσαεὶ, καὶ Αὖθις, μέλλοντι· αὐτίκα ποιήσω· εἰσαεὶ ἔςαι κίνησις· αὖθις διδάξω· λέγεται δὲ ταῦτα ἐπὶ τῶν μὴ ἐπὶ πολὺ ἀφεςηκότων τοῦ Ἐνεςῶτος. Τὸ δὲ Πρῴην καὶ Πάλαι, παρῳχημένῳ, πρῴην

ἐλήλυθε· πάλαι ἦσαν ταῦτα· τὸ δὲ Ἤδη κοινὸν μέλλοντος καὶ παρήκοντος, πλὴν τοῦ Ὑπερσυντελικοῦ· ἤδη βεβάδικα, ἤδη βαδίσω· τὸ δὲ Πρὶν, παρῳχημένῳ· πρὶν εἶπε· καὶ Ἀπαρεμφάτῳ· πρὶν εἰπεῖν, καὶ πρὶν ἢ εἰπεῖν, καὶ πρὶν ἂν εἴπῃ, καὶ πρὶν εἴπῃ. ὁμοίως δὲ καὶ τὸ Ἕως· Μέχρι· Ἄχρι· διὰ μὲν τοῦ Οὗ Ὁριστικῇ ἐν παρεληλυθότι· ἕως οὗ ταῦτα ἔπραττε· ἐν δὲ μέλλοντι, Ὑποτακτικῇ, ἕως οὗ ἔλθω, καὶ ἕως ἂν ἔλθω· τὸ δὲ Οὐδεπώποτε, παρῳχημένῳ· τὸ δὲ οὔπω καὶ Ἐνεστῶτι, οὔπω γέγονεν, οὔπω γίνεται.

## Βεβαιωτικά.

Τὰ δὲ Βεβαιωτικὰ, Ὁριστικῇ, λέγει ὅτι ἥξει· τὸ δὲ Ὅτι καὶ Εὐκτικῇ διηγηματικῶς, ἡγουμένου ἀφηγηματικοῦ ἐν παρεληλυθότι· ἠγγέλετο, ὅτι γένοιτο, καὶ εἴη, καὶ ἔσοιτο.

## Ἀποφατικὸν καὶ Ἀπαγορευτικόν.

Τὸ δὲ Οὐ Ὁριστικῇ, οὐ γινώσκω· καὶ Εὐκτικῇ μετὰ τοῦ ἄν· οὐκ ἂν εἴποις· τὸ δὲ Μὴ ἀπὸ μὲν Ἐνεστῶτος πρὸς Ὑποτακτικὸν ἂν εἴη ἀποδοθέν· φοβοῦμαι, μήτι γένηται κακόν. ἀπὸ δὲ παρῳχημένου πρὸς Εὐκτικόν· ἐφοβήθην, μὴ γένοιτό τι κακόν· συμφέρεται δὲ ἔτι τοῖς Προστακτικοῖς, μὴ γίνωσκε, μὴ γινωσκέτω, πλὴν τοῦ δευτέρου προσώπου τοῦ Ἀορίστου. ἀντ᾽ αὐτοῦ δὲ κατάλληλον τὸ Ὑποτακτικὸν, μὴ γνῷς, μὴ ἔλθῃς.

## Εὐκτικά.

Τὰ δὲ Εὐκτικὰ ἐπὶ μὲν μελλόντων, Εὐκτικῷ·

εἴθε σοι γένοιτο· ἐπὶ δὲ παρεληλυθότων, Ὁρισικῷ· εἴθε ἔγραψεν.

## Παρακελευσματικά.

Τὰ δὲ Παρακελεύσεως τοῖς δευτέροις τῶν Προςακτικῶν ῥημάτων προσώποις· φέρε εἰπέ· δεῦτε λέγετε. καὶ πρὸς τούτοις τοῖς Αὐθυποτάκτοις τῶν ῥημάτων, ἄγε λέγωμεν.

## Ἀποςατικόν.

Τὸ δὲ Ἀποςατικὸν, Ἀπαρεμφάτῳ· ὥςε λέγειν. καὶ Εὐκτικῷ μετὰ τοῦ ἄν· ὥςε λέγοι ἄν· καὶ Ὁριςικῷ· ὥςε λέγει.

## Περὶ Συνδέσμου.

Τῶν Συμπλεκτικῶν ὁ μὲν Τε, καὶ ὁ Και συμφέρονται τὰ πολλά· ὁ μὲν, ἡγούμενος· ὁ δὲ Καὶ, ἐπιφερόμενος· ἄνδρες τε καὶ γυναῖκες νῦν ὀργῶσι πρὸς μάθησιν· ὁμοίως δὲ καὶ οἱ Μεριςικοί· ἐγὼ μὲν διδάσκω, σὺ δὲ μανθάνεις.

## Διαζευκτικός.

Τῶν δὲ Διαζευκτικῶν ὁ μὲν Ἤτοι ἡγεῖται ἀεί· ὁ δὲ Ἢ ἐπιφέρεται. ἤτοι ἡμέρα ἐςὶν, ἢ νύξ· ἢ ζῇ, ἢ τέθνηκε· μοναδικῶς δε τριχῶς ἐκλαμβάνεται. πρῶτον μὲν Διασαφητικός· βούλομαι λαὸν σῶον εἶναι, ἢ ἀπολέσθαι. δεύτερον δὲ, Ἀπορηματικός· τί δὴ λαὸν ἤγαγεν ἐνθάδε, ἢ οὐχ Ἑλένης ἕνεκα; τρίτον δὲ, Λυτικὸς ἐν τῷ αὐτῷ· τὶ δὴ λαὸν ἤγαγεν ἐνθάδε; ἢ Ἑλένης ἕνεκα.

### Συναπτικός.

Ο δὲ Συναπτικὸς Ει, δύο ἀτελεῖς συνάπτει ἐννοίας· οἷον, εἰ ἐπιμελεῖταί τις, σοφὸς γενήσεται. Ἐπὶ μὲν οὖν μέλλοντος πράγματος, εἰ μὲν τὰ τῆς δευτέρας ἐννοίας εἴη ἐνδοιαζόμενα, Εὐκτικῇ μάλιςα συνταχθείη, ἐν Εὐκτικῷ καὶ τὴν δευτέραν μετὰ τοῦ Ἂν συνεπισπώμενος ἔννοιαν· οἷον, εἰ ἀςράψειε, κεραυνὸς ἐπισκήψειεν ἄν. εἰ δὲ ὁμολογούμενα, ἐν Ὁριςικῷ Ἐνεςῶτι, ἢ Μέλλοντι ἀμφοτέρας τὰς ἐννοίας συνδέσει· οἷον, εἰ βρέξει, εὐφορία γενήσεται· καὶ εἰ καθεύδει, οὐ κινεῖται. Ἐπὶ δὲ παρήκοντος, ἐν Ὁριςικῇ κατὰ τὸ παρῆκον ἀμφότερα· οἷον, εἰ μὲν ἐμάνθανον ταῦτα, οὐκ ἂν ἠγνόουν.

### Αἰτιολογικός.

Τῶν δὲ Αἰτιολογικῶν ὁ μὲν Ἀποτελεςικὸς Ἵνα καὶ τὰ ὅμοια, ἀπὸ μὲν Ἐνεςῶτος καὶ Μέλλοντος πρὸς Ὑποτακτικόν· οἷον ἔρχομαι, ἐλεύσομαι, ἵνα μάθω. ἀπὸ δὲ παρῳχημένου, πρὸς Εὐκτικόν· οἷον, ἧκεν, ἵνα μάθοι. καὶ πρὸς Ὁριςικὸν ἐσθ' ὅτε, ὡς εἰκὸς, εἰ περὶ παρῳχημένου ὁ λόγος· οἷον, ἐχρῆν αὐτὸν λαβεῖν συγγραφὴν, ἵνα εἶχεν ἀπαιτεῖν κατὰ νόμους· τὸ δὲ Ὅπως Παραγγελματικῶς μὲν πρὸς Μέλλοντα· οἷον σκοπεῖτε, ὅπως μὴ λόγους ἐροῦσιν. ἄλλως δὲ παντοίως φέρεται, Ὁριςικῇ τε συντασσόμενον, καὶ Εὐκτικῇ μετὰ τοῦ ἂν, καὶ Ἀοριςολογικῶς πρὸς Ὑποτακτικόν· καὶ ὅλως κατὰ τοῦ λόγου τὴν δύναμιν· τὸ δὲ Ὅτι καὶ τὰ ἰσοδυναμοῦντα πρὸς Ὁριςικὸν ἀδιαφόρως τοῖς χρόνοις. τὸ δὲ

Ἐφ᾽ ᾧ, αἰτιολογικῶς μὲν πρὸς παρῳχημένον. ἐφ᾽ ᾧ ἔγραψε· ἀποτελεστικῶς δὲ πρὸς Μέλλοντα καὶ Ἀπαρέμφατον. συνέθεντο, ἐφ᾽ ᾧ κομιοῦνται τοὺς αἰχμαλώτους. ἐφ᾽ ᾧ ἐλθεῖν. τὸ δὲ Ἕνεκα ἀεὶ γενικῇ. τὸ δὲ Ἐὰν, Ἢν, Ἐπειδὰν, Ὅταν, πρὸς Ὑποτακτικόν.

## Δυνητικός.

Ὁ δὲ Δυνητικὸς Ἂν, κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος πράγματος πρὸς Εὐκτικὸν, Μετοχήν τε καὶ Ἀπαρέμφατον. εἴποις ἂν, εἰπόντες ἂν, εἰπεῖν ἂν, κατὰ τὴν ἀκολουθίαν τοῦ λόγου. κατὰ δὲ παρήκοντος, πρὸς Ὁριστικὸν ἀδιαφόρως τοῖς χρόνοις, πλὴν τοῦ Παρακειμένου. οὐκ ἂν εἶπες ταῦτα. εἰ ἐβούλετο ὁ στρατηγὸς ἀπαμύνεσθαι, οὐκ ἂν ἡλίσκετο ἡ πόλις.

## Τέλος.

## Ἔκθεσις τῶν Δυϊκῶν καθ' ἑκάστην Κλίσιν, Συζυγίαν, καὶ Χρόνον, καὶ Ἔγκλισιν.

### Τῶν μὲν Ὀνομάτων οὕτω.

Α'. Δυϊκῶς ἡ Ὀνομαστικὴ καὶ Αἰτιατικὴ τω Αἰνεία. ἡ Γενικὴ καὶ Δοτικὴ, τοῖν Αἰνείαιν. ἡ Κλητικὴ, ὦ Αἰνεία.
τὼ Χρύσα, τοῖν Χρύσαιν, ὦ Χρύσα.
τὼ λῃστὰ, τοῖν λῃσταῖν, ὦ λῃστά.

Β'. τὰ Μούσα, ταῖν Μούσαιν, ὦ Μούσα.
τὰ τιμὰ, ταῖν τιμαῖν, ὦ τιμά.

Γ'. τὼ ἀνθρώπω, τοῖν ἀνθρώποιν, ὦ ἀνθρώπω.
τὰ ὁδὼ, ταῖν ὁδοῖν, ὦ ὁδώ.
τὼ μυστηρίω, τοῖν μυστηρίοιν, ὦ μυστηρίω.

Δ. τὼ Μενέλεω, τοῖν Μενέλεων, ὦ Μενέλεω.
τὰ ἅλω, ταῖν ἅλων, ὦ ἅλω.
τὼ εὔγεω, τοῖν εὔγεων, ὦ εὔγεω.

Ε'. τὼ Αἴαντε, τοῖν Αἰάντοιν, ὦ Αἴαντε.
τὰ τρυγόνε, ταῖν τρυγόνοιν, ὦ τρυγόνε.
τὼ βήματε, τοῖν βημάτοιν, ὦ βήματε.

### Τῶν Συνῃρημένων.

Α'. Τὼ ἀληθῆ, τοῖν ἀληθοῖν, ὦ ἀληθῆ.
τὰ τριήρη, ταῖν τριήροιν, ὦ τριήρη.
τὼ τείχη, τοῖν τειχοῖν, ὦ τείχη.

Β'. τὼ ὄφεε, τοῖν ὀφέοιν, ὦ ὄφεε.
τὰ πόλεε, ταῖν πολέοιν, ὦ πόλεε.
τὼ σινήπεε, τοῖν σινηπέοιν, ὦ σινήπεε.

Γ'. τὼ Βασιλέε, τοῖν βασιλέοιν, ὦ βασιλέε.

Δ΄. τὼ Λητὼ, ταῖν Λητοῖν, ὦ Λητώ.
Ε΄. τὼ κρέατε, τοῖν κρεάτοιν, ὦ κρέατε.

## Τῶν δὲ Ῥημάτων ἐν Ὁριςικῇ.

| | |
|---|---|
| Ἐνεςώς. | Τύπτετον, τύπτετον. |
| Παρατ. | Ἐτύπτετον, ἐτυπτέτην. |
| Παρακ. | Τετύφατον, τετύφατον. |
| Ὑπερσ. | Ἐτετύφειτον, ἐτετυφείτην. |
| Ἀόριςος. | Ἐτύψατον, ἐτυψάτην. |
| Ἀόρις. β΄. | Ἐτύπετον, ἐτυπέτην. |
| Μέλλων. | Τύψετον, τύψετον. |
| Μέλ. β΄. | Τυπεῖτον, τυπεῖτον. |

## Ἐν Προςακτικῇ.

| | |
|---|---|
| Ἐνεςώς. | Τύπτετον, τυπτέτον. |
| Παρακ. | Τετύφετον, τετυφέτον. |
| Ἀόριςος. | Τύψατον, τυψάτον. |
| Ἀόρις. β΄. | Τύπετον, τυπέτον. |

## Ἐν Εὐκτικῇ.

| | |
|---|---|
| Ἐνεςώς. | Τύπτυτον, τυπτύτην. |
| Παρακ. | Τετύφοιτον, τετυφοίτην. |
| Ἀόριςος. | Τύψαιτον, τυψαίτην. |
| Ἀόρις. β΄. | Τύποιτον, τυποίτην. |
| Μέλλων. | Τύψοιτον, τυψοίτην. |
| Μέλ. β΄. | Τυποῖτον, τυποίτην. |

## Ἐν Ὑποτακτικῇ.

| | |
|---|---|
| Ἐνεςώς. | Ἐὰν τύπτητον, τύπτητον. |
| Παρακ. | Ἐὰν τετύφητον, τετύφητον. |

Ἀλεξάνδρῳ τῷ Βασιλείου Νεόφυτος Δούκας
Εὖ πράττειν.

Καὶ φίλος μὲν πρότερον εὐτυχὴς, καὶ ἐχθρὸς δὲ νῦν δυσυχὴς ἐγὼ παρὰ σοὶ, φίλε μου κῦρ Ἀλέξανδρε· φίλος μὲν εἰς ἑξαετίαν σχεδὸν χρηματίσας, ἐχθρὸς δὲ μετὰ ταῦτα μεταξὺ μιᾶς ἑβδομάδος ἐξ ἀπροσδοκήτου γεγενημένος. ἐπειδὴ τὴν μὲν κυριακὴν τῆς Λαμπρᾶς συνησεϊζόμεθα εἰς τὸν οἶκόν σου μετὰ τῶν φιλτάτων σου παιδίων συμπαίζοντες· τὴν δὲ ἐρχομένην αὖθις κυριακὴν τοῦ Θωμᾶ προσφέρεταί μοι βιβλίον ἀπροσδοκήτως, ἐν κεφαλίδι ὄνομα φέρον, Ἀλέξανδρος Βασιλείου, πᾶν βέλος ὕβρεως, καὶ μιᾶς ἀδιακρίτου δημοκοπίας κατ᾽ ἐμοῦ ἐκτοξεῦον, ἐπιφέρον αἰτίαν μόνην, διὰ φιλίαν τοῦ Κοραῆ. ὃν ἐγὼ σέβομαι, καὶ τιμῶ ἐν τοῖς μάλισα, ὡς ἄνδρα ἐλλόγιμον καὶ φιλόπονον, ὅσον καὶ ἡ ἐν λόγοις αὐτοῦ ἐπίδοσις ἀπαιτεῖ, καὶ εἰς τοὺς κόπους αὐτοῦ διὰ τὸ κοινὸν καλὸν αὐτῷ ἐποφείλεται. Ἀλλ᾽ ἠγνόουν τῷ ὄντι, ὅτι ἡ ἐντιμολογιότης σου, Κυλώνιον Ἄγος ἐνόμι-

ζες ἄντικρυς, εἴτις ποτὲ ἀντιτείνει εἰς τȣ ἀνδρὸς τινὰς δόξας πρὸς τῆς ἀληθείας τὴν εὕρεσιν· ϗ ὅτι ἐκκλείεται πᾶς τις τῶν ὁμογενῶν τȣ αὐτοῦ δικαιώματος εἰς τὸ νὰ γράψῃ ἐλευθέρως ϗ ἀπὸ γνώμης ἰδίας περὶ τῶν κοινῇ συμφερόντων τὸ παρισάμενον. ὥςε ϗ ἐτρώθης τοσȣ̃τον βαθέως ἐκ τȣ́τȣ, ϗ ἀνέλαβες ἐν τοιαύτῃ παιδείᾳ καὶ ἡλικίᾳ τὸν τῆς πατρίδος ἀρχαῖον ϗ τῆς ἐκεῖσε ἀνατροφῆς χαρακτῆρα, ὥςε δεσποτικῶς ὡς ἀπὸ θρόνȣ βασιλικȣ̃ χαλεπήνας ϗ δεινοπαθήσας, ἠθέλησας νὰ ἀφαιρέσῃς πάνυ βαρβαρικῶς εἰς τὸν πρῶτόν σου σίχον τὸ ἐκ πολιτικῆς συνηθείας κοινῶς διδόμενον ϗ ἐμοὶ ϗ εἰς ἄλλȣς προσφώνημα, ϗ πᾶσαν ἄλλην τιμὴν, ϗ ἐντεῦθεν νὰ μὲ ἀφήσῃς Ἀκύρωτον ἐν μέσῳ τῷ συρφετώδει ὄχλῳ, ϗ ἄτιμον κατὰ πάντα μεταξὺ τῶν χυδαίων, περὶ τὸ ὄναμά μου καινοτομῶν, ϗ τοσαῦτα πρός με δημοκοπῶν, ὅσα ȣ̓δὲ οἱ ἐν καπηλείοις ἐγκαλινδȣ́μενοι, ϗ οἱ ἐξ οἰνοποσίας ἐνυβριζόμενοι πρὸς ἀλλήλȣς, λησὴν εἰπὼν, ϗ τυμβωρύχον, ϗ μορμόλυκα, ϗ ἀμαθέςατον, ϗ τὸ δὴ τιμιώτερον, ȣ̓δὲ συλλαβίζειν εἰδότα, ϗ ἄλλα πολλὰ παραπαίων τοιαῦτα, ὅσα ϗ ἡ σύνοικος ἀνατροφὴ πρότερον ἐξεδίδαξε, ϗ ἡ προαίρεσις τὸ ὕςερον ἐδοκίμασε, ϗ οἱ ἐμβρόντητοι δορυφόροι σȣ, καιρὸν λαβόντες, σὲ ὑπαγόρευσαν νὰ δεχθῇς εἰς μασιγίαν μετὰ ταῦτα τῆς σῆς συνειδήσεως, ὅσα καὶ τὸν βίον μȣ διαβάλλȣ-

σι πρὸς τὲς μὴ εἰδότας τὰ κατ᾽ ἐμὲ, καὶ ἄλλας ζημίας μοὶ προξενῦσι, ϗ ταῦτα μήτε φιλίαν παρῦσαν ἤδη πρεσβεύων, μήτε ἱερωσύνην αὐτὴν τὴν παρὰ πᾶσι σεβάσμιον αἰδεσθεὶς, μήτε εἴποτέ σε πνευματικὸς πατὴρ εὐλογῶν ϗ ἁγιάζων σὲ ἐχρημάτισα, αἰχυνθεὶς, μήτε ὅτι καὶ τὰ φιλτατάσε ἐβάπτισα, ὐδὲν τέτων ἐνθυμηθεὶς, ἐφ᾽ οἷς τυχὸν καὶ ἐτίμας με πρότερον, καὶ νῦν ὤφειλες κἂν διὰ ταῦτα νὰ χαλινώσης τὴν γλῶσσαν σε, ἀλλ᾽ ἅπαξ τῷ ἀλόγῳ πάθει παραχωρήσας, ἐκινήθης παραβολώτερον, ϗ κατ᾽ ἄνδρα Ἀλβανὸν, νὰ ἐκκενώσης πᾶσαν τῶν βελῶν τὴν φαρέτραν, ϗ νὰ κατατοξεύσης κατὰ τὲς κακέργες ϗ αὐτὴν τὴν καρδίαν μου, ϗ εἴτι δύνασαι νὰ μὲ βλάψης. Ἀλλ᾽ ἐγὼ δὲν αἰσθάνομαι τοσῦτον ἀνάξιον ἐμαυτὸν εἰς τὸ νὰ προβάλω τὴν ἀσπίδα τῆς ἀληθείας, ϗ νὰ ἀπαντήσω ἀκινδύνως τὰ βέλη σου· ϗ σὺ μὲν ὕβριζον ϗ αὖθις ϗ πολλάκις ἔχε τὴν τιμὴν ϗ τὴν δύναμιν ταύτην πρὸς τὸν ὡς συμποσίῳ ἐμὲ κωμῳδέμενον, ἀνέχε ὅμως ἐκέων· καὶ πάταξον μὲν, ἂν θέλης, ἄκεσον δὲ, τῦτο δὴ τὸ παρὰ τῦ Ἀθηναίε ϛρατηγῦ πρὸς τὸν Σπαρτιάτην ναύαρχον εἰρημένον.

Ἓξ ἤδη ἔτη διατρίβομεν ἐν Βιέννῃ ἀμφότεροι, φίλεμε κὺρ Ἀλέξανδρε, ϗ τὰ ἐμὰ πάντα οἶδας, ϗ διὰ τῦτο δὲν ἔχω χρείαν ἑτέρε μάρτυρος. ἐξ ὧν τὰ μὲν πέντε σχεδὸν ἐχρημάτισα ἐφημέριος:

τὸ δὲ λοιπὸν ἰδιώτης εἰμί. εἰς τὸ ἐπάγγελμα τȣ̃το λοιπὸν σύνοιδας κηλίδα τινὰ προσριβομένην παρ' ἀξίαν εἰς τὸν σὸν ἐφημέριον, ἢ παίζοντα, ἢ μεθύοντα, ἢ εἰς θέατρα καὶ εἰς θέας ἀτόπȣς τρέχοντα, ἤ τινα σκανδαλίζοντα ἢ ἄλλο τὶ ἀσωτεύοντα, ἢ τὸ ἐπάγγελμα αὐτὸ ἀμελήσαντα; δὲν ἔχεις νὰ δείξῃς, ἐὰν ὑγιαίνῃ σȣ ἡ συνείδησις τὴν ὁποίαν ἤδη ἐπλήγωσας, διαβαλών με πρὸς τȣ̀ς μὴ εἰδότας τὸν βίον μȣ· καθότι περιωρισμένος πάντοτε εἰς τὴν οἰκόν μȣ, μέτριος εἰς τὸν βίον μȣ, ἐκπληρῶν τὸ χρέος τȣ̃ ἐπαγγέλματος, εἰς τὰς ἀγκάλας τῆς μητρὸς ἐκκλησίας, διητώμην, ὅσον ἦν δυνατὸν, καθ' ἣν ὑπόχεσιν ἔδωκα, ὅταν ἐδέχθην τῆς λειτȣργίας ταύτης τὸ βάρος, μηδεμίαν ὑποψίαν τινὸς ὑποκρίσεως διδȣ̀ς πρὸς τὴν τῶν ἀνθρώπων ἀρέσκειαν, ἀλλὰ καθαρὸς μὲν ἀπὸ κολακείας ἁπάσης, προσηρμοσμένος δὲ κατὰ ἀληθῆ ἱερέα εἰς τὸ χρέος μȣ μόνον ϗ εἰς τȣ̃ συνειδότος τὴν καθαρότητα, λύχνον τοῖς ποσί μȣ ϗ φῶς τοῖς τρίβοις μȣ ἔχων ἀεὶ τὴν ἀλήθειαν, ϗ τῆς ἀληθείας τὴν παῤῥησίαν. καὶ τȣ́των μάρτυς αὐτόπτης σὺ αὐτὸς, ϗ πάντες οἱ τὴν ἀλήθειαν πρεσβεύοντες καὶ τιμῶντες.

Καὶ ταῦτα μὲν ἴσως ἀναγκαῖα τȣ̃ ἱερέως γνωρίσματα· τὸν δὲ ἄνθρωπον καὶ χριστιανὸν τὶ ἄλλο ὑποχρεοῖ εἰς τὸ νὰ εἶναι ἄξιος τȣ̃ τοιȣ́του ὀνόματος; ἡ ἐντολὴ πρὸς τὴν ὠφέλειαν τȣ̃ πλη-

σίου, καὶ εἰς τὴν μετάδοσιν τοῦ ταλάντου, τὸ ὁποῖον ἔλαβεν ἕκαστος παρὰ τῆς θείας προνοίας, ἢ πολὺ ἢ ὀλίγον κατὰ τὸ ἐμβαδὸν τοῦ δεχομένου ἀγγείου. ἀλλ᾽ ἐγὼ καὶ εἰς τοῦτο δὲν ἔπαυσε μεταξὺ τῆς ἄλλης μου ἀσχολίας ἀπὸ τοῦ ἐπαγγέλματος εἰς τὸ νὰ ἀναπληρῶ τὰ τοῦ χρόνου μεταξὺ διαλείμματα μὲ τοὺς πόνους μου τούτους, νύκτα καὶ ἡμέραν ἀκατάπαυστα ἐργαζόμενος. καὶ ταῦτα δὲν γράφω πρὸς ἀγνοοῦντας, πρὸς οὓς τυχὸν καὶ ψευσθήσομαι, ἀλλ᾽ ἐν μέσῳ τοσούτων Γραικῶν ἐν Βιέννῃ πρὸς εἰδότας τὰ κατ᾽ ἐμὲ ἀκριβῶς, καὶ ἐπαινοῦντάς μου τὸ ἐπιμελὲς, καὶ ἐπίμονον, καὶ ἀθέατον, καὶ τὸ μέτριον, καὶ εἴτι τοιοῦτόν μοι πρόσεστιν. πρὸς οὓς, ἐὰν καὶ μικρὸν τὶ ψευσθῶ, φανήσομαι πάντῃ ἀναίσχυντος· ὥστε ἐκ τούτων τῶν κόπων μου ἐξέδωκα εἰς μὲν τὸ πρῶτον ἔτος τῆς ἐνταῦθα διατριβῆς μου τὴν κατὰ σὲ Ἀλγησιθέαν. (Ἀλγησιθέαν μὲν διὰ τοὺς ἀλγοῦντας τὴν ὄψιν, Τερψιθέαν δὲ, διὰ τοὺς ἐραστὰς τῶν χαρίτων.) τὸ δὲ δεύτερον ἔτος τὸ Λεξικὸν τοῦ Βενδότου· τὸ δὲ τρίτον τὸν Θουκυδίδην δεκάτομον· τὸ τέταρτον δὲ τὸν Χείμαῤῥον τῶν χρόνων, καὶ τὸ περὶ σχολείου Ἑλληνικοῦ Ἐγχειρίδιον, καὶ πρὸς τούτοις καὶ τὸν Εὐτρόπιον δίτομον. τὸ δὲ πέμπτον τὸν Αἰνέκιον κατὰ τὴν ἀξίωσιν τοῦ Εὐγενοῦς μεταφραστοῦ ἐκ ὀλίγους κόπους καὶ εἰς τοῦτο ἀναδεξάμενος. τὸ δὲ ἕκτον αὖθις τὴν Τερψιθέαν τὸ δεύτερον, καὶ τὸν Ἀρ-

ῥιανὸν ἑπτάτομον ἤδη· ϗ τέλος πάντων, τῶν ἀγώνων τούτων ἁπάντων τὴν τελευταίαν μου ταύτην ἐκ τῆς σῆς εὐγνωμοσύνης ἀπολογίαν. ϗ ἐν τούτοις ἐγὼ διεσκέδασα αὐτὴν τὴν ἑξαετίαν, εἰς τὴν ὁποίαν μόλις ἐξαρκοῦσέ τις νὰ ἐκδώσῃ εἰς τοιαύτην ἔκδοσιν μόνον τὸν Θουκυδίδην. ϗ λέγω τοῦτο διὰ νὰ ἐπιφέρῃς προχείρως τὸ πρὸς τὸν ἀφυῆ ζωγράφον παρὰ τοῦ Ἀπελλοῦ εἰρημένον, θαυμάζω πῶς δὲν ἐξέδωκας ϗ ἄλλα τοιαῦτα πολλά. ἀλλὰ ταῦτα λέγων ϗ ἐννοῶν, ἕξεις τὴν μάστιγα τῆς σῆς συνειδήσεως, ὡς θείαν δίκην ἀεὶ ἐπισειομένην, καὶ ἐπαπειλοῦσάν σοι κώφωσιν παντελῆ. ἐπειδὴ ἐγὼ εἰς τὸ διάστημα τῆς ἑξαετίας αὐτῆς μεταξὺ, ἐξαπέστειλα εἰς τὴν Ἑλλάδα ἐν αὐχμοτάτῳ καιρῷ τεσσαράκοντα σχεδὸν χιλιάδας βιβλία, ὅσα ἡ τιμιότης σου οὐδὲ γιαλιὰ καὶ τζουκάλια ἐμπορικὰ δὲν ἐδυνήθης νὰ στείλῃς. καὶ διὰ τοῦτο εἴτι μοι ϗ ἡμάρτηται μεταξὺ ἢ ἐκ τῆς περὶ πολλὰ ἀσχολίας μου, ἢ ἐξ ἀπροσεξίας, ἢ ϗ ἐξ ἀμαθείας, τὸ ὁποῖον ϗ δὲν ἀρνοῦμαι, ἀλλ᾽ οὐν ἡ τοιαύτη μου ὀξύτης ὁπωσοῦν μὲ κάμνει ἀνεύθυνον, ϗ μάλιστα μεταξὺ ϗ πολιτικῶν πολλῶν ταραχῶν, ϗ ἰδίων ἄλλων ἀσχολιῶν περιπεπλεγμένον. ἐπειδὴ ϗ σὺ ἐνθυμεῖσαι, εἰς τὴν ἔκδοσιν τῶν παιζοχαρτίων σου, ὅτι ἐπρόβαλες εἰς δικαιολογίαν τῶν ἡμαρτημένων τὰς ἐμπορικὰς ἀσχολίας σου· ϗ εἶχες δίκαιον· καθότι οἱ λόγοι εἶναι πτερόεντες, ϗ διὰ τοῦτο χρή-

ζεσι νηνεμίας ἐν σκέπῃ τῶν ταραχῶν ἀκριβεῖ, ϗ μάλιςα ὅταν αἱ Μȣσαι, παρθένοι ȣ῏σαι, θεραπεύωνται παρ' ἐπάγγελμα.

Ὡς τόσον νὰ ἐκδοθῇ βιβλίον τι ἀναμάρτητον ϗ ἀνεπίληπτον κατὰ τὸ μᾶλλον καὶ ἧττον, ὥςε νὰ ἀρέσῃ τοῖς πᾶσι, φίλε μȣ κὺρ Ἀλέξανδρε, τȣ῀το νόμιζέ το σχεδὸν ἀδύνατον, ϗ μάλιςα ὅταν ὁ μῶμος ἐγκύψῃ προσεκτικώτερον εἰς αὐτό. ἐπειδὴ ϗ αἱ ἰδέαι πολλάκις τῶν βροτῶν, καίτοι περὶ τȣ῀ αὐτȣ῀ πράγματος ȣ῏σαι, εἶναι ὅμως διάφοροι· ϗ μαρτυρεῖ μοι τὸν λόγον μάλιςα ἡ Γραμματικὴ τȣ῀ μακαρίτȣ διδασκάλȣ Νεοφύτȣ τȣ῀ Καυσοκαλυβίτȣ. περὶ ἣν ἐκεῖνος μὲ ὅλον ὅτι τριάκοντα ἔτη ἠναχολήθη, ἐξηλέγχθη ὅμως παρὰ τȣ῀ Εὐγενίȣ εἰς ἄπειρα, ϗ βιβλίον ὅλον ἤδη ἐκδέδοται ἐπικρίσεως. Διὰ τȣ῀το ἄρα ϗ οἱ Εὐρωπαῖοι παραδίδȣσι τὰ ποιήματά των ὡς ἐπὶ τὸ πλεῖςον χειρόγραφα, διὰ νὰ τελειοποιήσωσιν αὐτὰ ἐκ τῆς περὶ ταυτα τριβῆς περισσότερον. ϗ πάλιν ἀφ' ȣ῟ τὰ ἐκδώσωσιν, ἐπιδιορθȣ῀σιν αὐτὰ εἰς τὴν δευτέραν, εἰ τύχοι, ἔκδοσιν. τὸ ὁποῖον λέγȣσι νὰ ἔκαμε ϗ ὁ Νεύθων, δεξάμενος μετ' εὐγνωμοσύνης ϗ μετριότητος τὸν ἀληθῆ τȣ῀ δημοσιεύσαντος ἔλεγχον, ϗ δὲν ᾐχύνθη παντελῶς ὁ ἀνὴρ νὰ δεχθῇ ὠφελίμως τὴν δόξαν τȣ῀ ἀντιζήλȣτȣ. ἐπειδὴ δὲν ἦτον Γραικὸς, ἀλλ' Ἄγγλος, ἄνθρωπος δηλονότι ϗ πολλάκις ὑποκείμενος εἰς ἀπάτην, τȣ῀ ὁποίȣ ϗ οἱ λογισμοὶ πολ-

λάκις δειλοὶ, ϗ αἱ ἐπίνοιαι σφαλεραί. ὅπερ καὶ ὁ Πλάτων, ὡς οἶμαι, φοβȣμενος, ϗ ἐντεῦθεν διὰ παντὸς τȣ̃ βίȣ ἐπιθεωρῶν ϗ κτενίζων τȣ̀ς λόγȣς τȣ, ἐξέδωκεν αὐτȣ̀ς, ὡς λέγȣσιν, ἐν τῷ γήρατι, ὑποπτευόμενος ἴσως ϗ αὐτὸς τὰ αὐτοσχέδια τȣ̃ νοός τȣ γεννήματα, ϗ τὴν κρίσιν τῶν ἀντιζήλων τȣ. καθότι τὰ τοιαῦτα πάθη ȣ̓δέποτε ἔλειψαν, ȣ̓δὲ λείψȣσι πώποτε, μέχρις οὗ ἡ φύσις τῶν ἀνθρώπων ἐςὶν ἡ αὐτή. οἵτινες ἔχοντες ἐκεῖθεν τοιȣ̃τον ἐνδόσιμον, φιλοτιμȣ̃νται μᾶλλον περὶ τὰ ἴδια, ϗ ἂν τύχωσι νὰ εἶναι πιθήκων γεννήματα ἄμορφα.

Τῶν βιβλίων ὅμως τὰ ἁμαρτήματα, φίλε μȣ κὺρ Ἀλέξανδρε, θεωρȣ̃νται ϗ ἐν ἄλλοις πολλοῖς, εἰς δύο ὅμως ἐκεῖνα τὰ γενικώτερα μάλιςα, εἰς Δόγμα, καὶ περὶ τὴν Λέξιν· ϗ τὸ μὲν περὶ δόγμα ἁμάρτημα ἔχει βάρος, ὡς εἰκὸς, ἀσυγκρίτως τȣ̃ λεκτικȣ̃ περισσότερον. ὅθεν ϗ περὶ ἐκεῖνο προσέχȣσι μᾶλλον οἱ περὶ ταῦτα ἐναχολȣμενοι, ὡς ϗ τȣ̀ς ἐπαίνȣς ἐκεῖθεν μείζονας ἐν ταῖς ἐπιτυχίαις ἐλπίζοντες, ϗ τὰ ἐπιτίμια ὁμοίως ἐν ταῖς ἀποτυχίαις βαρύτερα προσδοκῶντες, ϗ δυσφορώτερον τȣ̀ς ἐκ τȣ́των ἐλέγχȣς, ἂν τύχῃ ποτὲ, ὑποφέροντες. τὰ δὲ ἐκ τῆς λέξεως ἀμφότερα φαίνονται μετριώτερα πρὸς ἑκάτερα. διὰ τȣ̃το ϗ οἱ πεπαιδευμένοι ὀλίγον περὶ ταῦτα διϊσχυρίζονται, εἰδότες, ὅτι τὸ τὰ τοιαῦτα ἰσχυρῶς

ἐξελέγχειν, περιεργότερόν ἐςι περιτρώγειν τῶν ἀντιζήλων τὰς ὄνυχας, μηδὲν τῶν σαρκῶν αὐτῶν ἁψαμένας, καθὼς καὶ τὰ κυνάρια περιτρώγουσι τὰ καττύματα, καὶ εἴτι ἕτερον πρόχειρον εὕρωσι.

Σὺ δὲ ἀπὸ τῶν δογματικῶν ἀγώνων μετέφερες τὴν πάλην εἰς τῶν παίδων τὸ ςάδιον· καὶ ἀπὸ τῶν ἀμφιβόλων γραμματικῶν λόγων, ἐν οἷς ἀντεῖπόν τινα πρὸς τὸν κύριον Κοραῆν, μεταπηδήσας ἐξ ὀργῆς καὶ θυμοῦ, ἄνω καὶ κάτω ἐκίνεις τὸ πᾶν, καὶ ἐγκλήματα ἐζήτεις καθοσιώσεως κατὰ τοὺς συκοφάντας, ἄνω καὶ κάτω κινῶν τοὺς δημοσίους τῆς ἐπικρίσεως κώδικας, καὶ εἰς τὰ ἄλλα μου βιβλία ἐφώρμησας, ἀφεὶς παντάπασι τὸ σκοπούμενον, καὶ τῆς πληγῆς τὴν αἰτίαν. καὶ ἐσπούδασας κατὰ μίμησιν τῶν κυναρίων νά μοι περιτρώξῃς αὐτόθι τοὺς ὄνυχας. καθότι εἰς τοιαύτας ἀτοπίας περιπίπτουσιν οἱ τοὺς ἀντιζήλους τινὸς συμβούλους κατ᾽ ἐκείνου λαμβάνοντες. οἵτινες ἐν ἀκμῇ τοῦ πάθους, πολλὴν ἐπιφέροντες πιθανότητα, σβέουσι μὲν τὸ πῦρ μὲ τὸ ἔλαιον, χαλινοῦσι δὲ τὸν θυμὸν μὲ τὸ κέντρον. καὶ εἰς τοῦτο ἔχεις καὶ ἕξεις ἀεὶ μάρτυρα τῷ ὄντι ἀδέκαςον τοῦ σοῦ συνειδότος τὴν Μάςιγα (δέξαι, παρακαλῶ, τὸ προσφυὲς τοῦτο ὄνομα τῷ βιβλίῳ σου). ἐπειδὴ καὶ τὸ κίνημά σου ἐςάθη παντάπασιν ἄλογον, καὶ τῆς τιμῆς σου ἀλλότριον. καὶ ἀξιῶ νὰ μὲ πιςεύσῃς εἰς αὐτὸ μόνον, καὶ νὰ γένῃς εἰς τοῦτο καὶ παρ᾽ ἐμοὶ τῆς δευτέρας τάξεως τῶν

παρ' Ἡσιόδῳ ἐπαινουμένων, καὶ μὴ τῆς τρίτης, μὴ γένοιτο, εἰς τὴν ὁποίαν ἐν τῇ κεφαλίδι τῆς Μάσιγός σου παρέπεμψάς με τὸν ἀμαθέστατον. ναὶ ἀλόγως ἐκινήθης, φίλε μου κῦρ Ἀλέξανδρε, καὶ ἀνάξια ἔπραξας σεαυτοῦ, καὶ ἐμὲ ἐκ τούτου κατῄσχυνας, ὡς ἐπαινοῦντά σε πρότερον, καὶ ἐπιλέγοντα περὶ σοῦ πρὸς τοὺς ἄλλους μεταξὺ τῶν ἄλλων ἐπαίνων μου τοῦτο δὴ τὸ παρὰ τοῦ Πύῤῥου πρὸς τὸν Φαβρίκιον τὸν Ῥωμαῖον ποτὲ εἰρημένον. „Οὐκ ἔστιν αὐτὸν ἀφελκυσθῆναι τοῦ πρέποντος, ὥσπερ οὐδὲ τὸν ἥλιον τῆς αὐτοῦ φορᾶς." νῦν δὲ γνοὺς μᾶλλον ἐκ πείρας, ὅτι δὲν ἐξετοπίσθης παντελῶς μήτε τῆς Ἀλβανικῆς αὐτῆς ἰδιότητος, σκυθρωπάζω, καὶ μέμφομαι τὴν ἀπάτην, καὶ ὑπογελῶ μετ' αἰσχύνης, ὅταν τίς μοι προφέρῃ τὸ εἰρημένον ἐπομνημόνευμα τοῦ Πύῤῥου πρὸς ἔλεγχόν μου. ἐπειδὴ ὁ ἐπαινῶν ἐγὼ, καὶ ἀποθνήσκων ὑπὲρ σοῦ εἰς τῶν πραγμάτων τὰς συντυχίας, ἀκούω νῦν παρὰ δόξαν Τυμβωρύχος, Ληστὴς, καὶ Μορμόλυξ, καὶ τοιαῦτα ἄλλα, ὅσα εἵμαρται νὰ εἶναι τῆς Μάσιγός σου τὰ γύγαρτα. ἀλλ' ἄκουσον καὶ πρὸς ταῦτα ἐξομολόγησιν, μάλιστα μὲν ἀληθῆ, μάλιστα δέ σοι συμφέρουσαν, διὰ νὰ λάβῃς δηλονότι περισσοτέρας κακηγορίας ἀρχὰς εἰς τὸ νὰ μὲ θεατρίζῃς ὡς ἀμαθέστατον, καὶ τοῦτο δὴ τὸ μωρότερον, οὐδὲ συλλαβίζειν δυνάμενον.

Πρὸ ἑπταετίας ἤδη ἐν τῷ χολείῳ τȣ̃ Μακαρίτȣ Λάμπρȣ τȣ̃ φωτιάδȣ ἐν Βȣκορεσίῳ ςρεφόμενος ϗ ἐγὼ, εἶδον πρὸς ταῖς ἄλλαις τῶν μαθητῶν προκοπαῖς πολλὴν τὴν βοήθειαν καὶ φιλοτιμίαν εἰς τῶν λόγων τὴν περιέργειαν ἐκ τῶν ὑποσημειώσεων τῶν ἐπισολῶν τȣ̃ Συνεσίȣ ἐν τῇ ἐκδόσει Γρηγορίȣ τȣ̃ Κωνςαντᾶ· ϗ ἐντεῦθεν συνέβαλον κατὰ νȣ̃ν, ὅτι ἂν ἦσαν τὰ βιβλία ὅλα ȣ̈τως ἐκδεδομένα, ἐλαχίςην χρείαν εἶχον οἱ μαθηταὶ διδασκάλȣ, ἔχοντες διδάσκαλον τȣ̃τον αὐτὸν τὸν χολιαςὴν ἐν χερσί. τὸ ὁποῖον ϗ εἶναι βέβαια ἀναντίῤῥητον. ὅταν ὁ σχολιαςὴς ἀποβλέψῃ ἁπλῶς τῶν νέων τὸ ὄφελος. ἐντεῦθεν δὲ ὡριμωτέρας γενομένης τῆς ἰδέας αὐτῆς ἐν ταῖς διατριβαῖς τῶν σπȣδαίων, ἐκινήθην ἐγὼ εἰς φιλοτιμίαν, καὶ ἐπεχειρίσθην τὸν Θȣκυδίδην, κινȣ̃ντός με μάλισα εἰς τȣ̃το ἀπαραιτήτως ϗ τȣ̃ ἰατρȣ̃ κυρίȣ Σιλβέςρου Φιλίτȣ. ἐπεξεργασάμενος δὲ τȣ̃ πρώτȣ βιβλίου τὸ γενικώτερον μέχρι τȣ̃ κδ΄. παραγράφȣ κατὰ τὴν τότε ἐνȣ̃σάν μοι δύναμιν, ἐξέδωκα τȣ̃το εἰς τὴν πρώτην τάξιν τῶν μαθητῶν παραδιδομένων ἤδη τὴν Θȣκυδίδην. ἐν οἷς πρῶτος ἦν ϗ ὁ σὸς καὶ ἐμὸς φίλος Δημήτριος ὁ Σχινᾶς, διὰ νὰ κρίνωσι πάντες ϗ διδάσκαλοι ϗ μαθηταὶ περὶ τῆς κατὰ τὴν μετάφρασιν ἰδέας ϗ τῶν ἄλλων ὅ,τι δόξῃ ἑκάςῳ. πολλῶν δὲ λόγων μεταξὺ γενομένων, μοὶ εἶπεν ὁ Φωτιάδης ἐκεῖνα, „Ἔχȣ τȣ̃ ἔργȣ γεν-

ναίως, ϗ μὴν ἀπελπίζεσαι ἐν μέσῳ πολλῶν, ϗ ἂν μὴ κατορθώσῃς τι εἰς ὠφέλειαν τȣ͂ κοινȣ͂, ἀλλ' ἀυτὸς σεαυτὸν ὠφελήσεις. ὅσον δὲ περὶ τῆς μεταφράσεως (ἂν πρέπῃ νὰ λέγεται ϗ μετάφρασις, ἀλλ' ὄχὶ μᾶλλον παράφρασις·) ἴϑι, ὅτι καϑ' ἑκάςην δεκαετίαν ἡ τελειότης τῆς γλώσσης προβαίνει ἐπὶ τὸ κρεῖττον, ϗ οἱ πόνοι σȣ δὲν ἀποβλέπȣσιν εἰς δεκαετίας, ἀλλ' εἰς αἰῶνας·" καὶ ταῦτα εἰπὼν, ἔδωκέ μοι τέτραδον, ὑποσημειώματά τινα περιέχον περί πȣ ὡς εἴκοσι εἰς τὴν ἀρχαιολογίαν τȣ͂ Θȣκυδίδȣ παρὰ τȣ͂ Μακαρίτȣ Εὐγενίȣ σχολαρχήσαντος εἰς τὸ ὄρος τȣ͂ Ἄϑωνος, διὰ νὰ τὰ προσαρμόσω μεταξὺ, εἴτι μοι δόξει ὠφέλιμον. ὅπερ ϗ ἐγένετο ὅτω. ἐν τȣ́τοις δὲ ὢν, προσεκλήϑην ἐφημέριος εἰς Βιένναν, ϗ δεξάμενος ἀσμένως τὴν πρόσκλησιν διὰ τὴν ἐνταῦϑα τυπογραφίαν μάλιςα, ἦλϑον· ϗ ἐλϑὼν, μετὰ τῆς φροντίδος τῆς ἐφημερίας, ἐτελείωσα καὶ τὸν συγγραφέα εἰς ἕνα χρόνον, ȣ͂τως ὡς ἐδυνάμην πληρέςατα, χωρὶς νὰ περιεργαϑῶ τὴν Μόδαν τῶν ἐκδοτῶν τῆς Εὐρώπης, ὅτι πρέπει νὰ ὑποσημειώνω ὅ,τι ποτὲ ϗ ἄλλος ἢ ἐννόησε τὸ αὐτὸ, ἢ κακῶς τὸ ἐνόησεν. ἐπειδὴ ϗ δὲν ἔλαβον ȣ̓δεμίαν φιλοτιμίαν πρὸς τȣ͂το νὰ ἀρέσω πρὸς τȣ̀ς ἀλλογενεῖς, ἐξ οὗ ȣ̓δεμία ὠφέλεια φαίνεται εἰς τῶν νέων τὴν τρυφερότητα, ὅπερ ἦν μοι τὸν σπȣδαζόμενον ἐξ ἀρχῆς· καὶ κατὰ τȣ͂το δικαίως μὲ ὠνόμασας ἀ-

μαθέσατον· καὶ εἶχες δίκαιον μᾶλλον νὰ μὲ ὀνομάσης καὶ ξυλοκέφαλον· πλὴν ὄχι λῃστὴν, τυμβωρύχον, καὶ μορμόλυκα, τοῦτο δὴ τὸ ἐν τῇ συνηθείᾳ Βουρκόλακα. καὶ τὰ ἄλλα ἀναίσχυντα. καὶ ταῦτα διὰ πέντε λέξεις μόνον εἰς τὸν Θουκυδίδην. ἐπειδὴ τὰ τοιαῦτα εἰς τὰ σαρκοφάγα καὶ κρώζοντα ὄρνεα παραπέμπει ἡ παροιμία· σὺ δὲ καὶ οἱ σοὶ δορυφόροι εἴθε μόνον ὀνυχοτρῶκται καὶ δερματοβόροι, καὶ οὐδέποτε σαρκοφάγοι γενήσεσθε. εἰδὲ μὴ, οἱ τὰ τοιαῦτα ὑποσκάπτοντες, τοὺς ἰδίους ὀφθαλμοὺς ἐξορύξουσι, καὶ τὰς ἰδίας σάρκας καταμασσήσουσιν, ἐμὲ δὲ οὐδὲ δύνασθε νὰ μὲ βλάψητε.

Τέως δ᾽ οὖν τῶν πολυθρυλλήτων τούτων μαρτυριῶν ἄλλαι μὲν εἶναι ἀναγκαῖαι κατὰ τὸ μᾶλλον καὶ ἧττον μεταξὺ διαφέρουσαι, ἄλλαι δὲ περιτταὶ, καὶ ἄλλαι ἄλλων μάλιστα περιττόταται. καὶ ἀναγκαῖαι μὲν εἰσὶν, εἰς ὅσα ὁ λόγος διὰ τὸ ἀμφίβολον ἀπαιτεῖ ἐκ μαρτυρίας ἀξιωματικῆς τὴν βεβαίωσιν. οὕτως ὁ Θεολόγος βουλόμενος νὰ ἀποδείξῃ τοῦ υἱοῦ τὸ συνάναρχον, ἐπιφέρει τὸν Ἐπιστήθιον μάρτυρα, „Ἐν ἀρχῇ ἦν ὁ λόγος." οὐχὶ ὑποπτεύων τὸ Τυμβωρύχος, ἀλλ᾽ ἵνα βεβαιώσῃ τοὺς ἀκροατὰς τὸ ἀκατάληπτον τῆς ἐννοίας τοῦ μυστηρίου. οὕτω καὶ ὁ φυσικὸς τὰ ἐκ τῆς πείρας ἄλλοθι πῇ ἀποδεδειγμένα. καὶ ὁ μεταφυσικὸς τὰς ὑψηλοτέρας ἰδέας, περὶ ὧν ἀμφιβάλλεται. καὶ ὁ ἰατρὸς τὰ εἰς τοὺς ἄλλους ἀμφίβολα, καὶ οἱ ἄλλοι

ὁμοίως, οἷον ἐπικουρίαν καὶ βεβαιότητα τὴν συναίνεσιν καὶ τῶν ἄλλων λαμβάνοντες, καὶ τὸ ὀξὺ τοῦ νοὸς αὐτῶν ἅμα προσμαρτυροῦντες. ὁ δὲ λογικὸς δὲν ἔχει βέβαια χρείαν νὰ φέρῃ τὸν ἐκ Σταγείρων φιλόσοφον μάρτυρα, ὅτι ἀρετὴ μὲν ὁρισμοῦ ἐστι τὸ ἀντιστρέφειν πρὸς τὸ ἴδιον ὁριστὸν, κακία δε, τὸ ἀνάπαλιν. καθότι δύναται νὰ ἀποδείξῃ αὐτὸ ἐκ τῆς τῶν ὅρων συστολῆς καὶ ἐκτάσεως. οὔτε ὁ μαθηματικὸς τὴν πρότασίν του ἐκ τῆς μαρτυρίας τοῦ Εὐκλείδου, ἀλλ᾽ ἐκ τῆς πραγματικῆς ἀποδείξεως. οὕτω καὶ ὁ γραμμάτικος δὲν εἶναι ἄξιος νὰ ὀνομάζεται τυμβωρύχος Διονυσίου τοῦ Θρᾳκὸς, ἢ ἄλλου ἀρχαιοτέρου, διότι δὲν ἐπεμαρτύρησεν ἐκεῖθεν τὸ Γράμμα ἐστι μέρος ἐλάχιστον τῆς φωνῆς. οὐδὲ ὁ μαθηματικὸς τοῦ Εὐκλείδου ὡσαύτως, εἰπὼν, κέντρῳ καὶ διαστήματι κύκλον γράφεσθαι. ἐπειδὴ τὰ τοιαῦτα, σύμφωνα ὄντα καὶ ἀναντίῤῥητα, κατετάχθησαν εἰς κανόνας, καὶ μαρτυρίας οὐκ ἐπιδέχονται χωρὶς ἀηδίας. οὕτω καὶ ὁ σχολιαστὴς, ἐὰν θέλῃ νὰ καθαρεύῃ αὐτῆς, δὲν ἔχει ἀνάγκην νὰ ἐπιμαρτυρῇ καὶ αὐτὰ τὰ χειρόγραφα, ἢ τυπογραφικὰ ἁμαρτήματα, ὅτι τοῦτο μὲν κακῶς γέγραπται ἐν τῷ ἀντιγράφῳ τοῦ δεῖνος, καὶ ἔτι χεῖρον ἐν τῷ τοῦ δεῖνος. ἐκεῖνο δὲ ὁ δεῖνα κακῶς ἐνόησε· καὶ ὅτι τὸ, Ἄνθρωπος, διώρθωταί μοι ἀντὶ τοῦ, Ἄθροπος, ἐκ τοῦ ἀρίστου κώδικος γνώμῃ καὶ Γρονοβίου, καὶ τὰ τοιαῦτα μωρολογήματα. τὸ ὁποῖον

ἔπαθον κἀγὼ ἐκ μιμήσεως ἐν πολλοῖς εἰς τὸν Ἀῤῥιανὸν καὶ Εὐτρόπιον. καθότι τὰ εἰς γραμματικὲς κανόνας ἀπευθυνόμενα εἶναι ἀνεπιδεῆ μαρτυρικῆς ἀποδείξεως. ἄλλως δὲ τὸ τοιῦτον πρὸς τῇ μωρολογίᾳ ὑποκρύπτει ἐν πολλῇ ταπεινοφροσύνῃ ϗ δόκησιν φαντασίας. τῆς ὁποίας ἤδη αἰσθάνομαι πρῶτον ἔνοχον ἐμαυτὸν, ϗ μάλιςα εἰς τῦ Ἀῤῥιανῦ μϋ τὴν ἔκδοσιν. καὶ καλῶς ἔλεγε περὶ τύτϋ Σαρῆς ὁ Τενέδειος. „πολλὰς ὑποβάλλειν μαρτυρίας μὴ ἀναγκαίας, δόξαν πολλῶν ἀναγνώσεώς ἐςι σφίσι προμνᾶσθαι." ὅπερ ἀςειοτέρως ἀπέδειξέ μοι ποτὲ ἡ ἀγροικία ἑνὸς χυδαίϋ, εἰπόντος „ἄκρα ταπείνωσις, Μπᾶς ὑπερηφάνεια" (1) καθότι τὸν ἀλαζόνα δὲν τὸν χαρακτηρίζει τοσῦτον τῆς χλαμίδος ἡ ἔπαρσις, ὅσον τῦ τρίβωνος ἡ ὑπόκρισις.

Ἀλλὰ τὰ τοιαῦτα τέλος πάντων εἰς μὲν τὺς φιλολόγυς ἔχϋσι τινὰ περιέργειαν, ὑποκνίζοντά πως αὐτῶν τὸ φιλότιμον. εἰς δὲ τὺς νέϋς, πρὸς οὓς ἐγὼ ἐπαγγέλλομαι ταῦτα, ὁποίαν ποτὲ ὠφέλειαν δώσϋσιν; οἵτινες ἀγνοῦντες τὰς φαντασίας τῶν ἐκδοτῶν, δυχεραίνϋσιν ἐκ τῦ εἰκότος εἰς τὰς ὑποσημειωθείσας διαφόρϋς ἀναγνώσεις, ἢ μᾶλλον παραφθορὰς, τῦ Ξενοφῶντος τῦ τυπω-

---

(1) Κώςας ὁ ῥάπτης. ὐκῦν ὐκ εἰμὶ τῦ ἀνδρὸς τυμβωρύχος.

θέντος ἐν Βενετίᾳ; ἐγὼ μὲν ὐδεμίαν ὁρῶ. καὶ μάλιςα ἐν ᾧ ὁ Θυκυδίδης φαίνεται τοσῦτον πυκνὸς ϗ πεπιεσμένος, ὥςε ἐν ἑκάςῳ ςίχῳ σχεδὸν ἀπαιτεῖ πολύςιχον σχόλιον· καὶ τὰ πολλά μου ταῦτα ϗ πολύςιχα σχόλια, ὡς πρὸς τὴν χρείαν τῶν νέων εἶναι πολλὰ ἐλλιπῆ κατ᾽ ἐμέ. ὅςτις γνωρίζω καλὰ πῦ τρίβει ἡ ἀπορία τὸν μαθητὴν, ϗ ποίας δέεται βοηθείας. ἂν ὅμως μὲ ἐκίνει ἡ φαντασία μυ νὰ ἀναγνωσθῶσι ταῦτα εἰς τὰ Ὀλύμπια, ἀλλὰ μὴ εἰς τὰ πτωχὰ τῆς Ἑλλάδος ταμεῖα κατὰ τὴν ἐξ ἀρχῆς ϗ διάθεσιν καὶ ὑπόχεσιν, ἔπρεπεν ἐξ ἀνάγκης δυοῖν θάτερον, ἢ νὰ τὰ ἐκτείνω εἰς διπλάσιον ὄγκον, παραληρῶν μεταξὺ, ἢ νὰ παραβλέψω τὰ καθ᾽ ὑπόχεσιν ἀναγκαῖα, εἰσαγαγὼν τὴν ἀλαζονίαν τῆς φαντασίας μυ. καὶ ἐντεῦθεν νὰ ἀντιπεριάγω ἀθώυς διὰ νὰ συςήσω τὴν δόκησιν τῆς πολλῆς περὶ τὺς συγγραφεῖς ἀχολίας μου καὶ τριβῆς. ὅθεν καί μοι ἔγραψέ τις τῶν ἐλλογίμων ἐξ Ἰασίυ, ὅτι οἱ ἐκεῖσε ἐλλόγιμοι δυχεραίνυσι πολὺ εἰς τὰς μαρτυρίας τῶν ἄλλων· ἐξ ὧν οἱ πλεῖςοι μωρολογῦσι· καὶ ταῦτα εἰς τὸν Θυκυδίδην· εἰς τὸν ὁποῖον σὺ καὶ οἱ σοὶ τυφλοὶ δορυφόροι, δὲν βλέπυσι τοιαῦτα πολλά. καθότι ἔκτοτε καὶ ἐξήλειψα πολλὰ ἐξ αὐτῶν, ἀπὸ τῦ γράμματος ἐκείνυ δυσωπηθείς.

Ὅτι δὲ πρὸς τὺς νέυς ἐγὼ ὑπεχέθην τὺς πόνυς μυ, ἀλλ᾽ ὐχὶ ὡς τὰς Μούσας εἰς τὰ Ὀλύμ-

πια τῆς Εὐρώπης, ἐγκύψας εἰς τὴν 121 σελίδα τȣ̃ δευτέρȣ τόμȣ τȣ̃ Ἰσοκράτȣς, ἔχε μαρτυρίαν μάλιςα μὲν ἀληθῆ, μάλιςα δὲ ἀξιωματικήν· ἢ θέλεις νὰ σὲ πέμψω καὶ ἀλλαχῆ; ἔχε ἀτρέμας, καὶ εἰς ἄλλον ἀγῶνα προσδέχȣ, ὅταν λάβω τινὰ ἴσως ἐκ δευτέρȣ ἐρεθισμόν. τότε, τότε, καὶ σὺ καὶ οἱ σοὶ δορυφόροι παραπολαύσȣσιν ἀξίως τῆς κατὰ σὲ Δȣκικῆς γλωσσαλγίας. οἵτινες ἐκ χαμερποῦς μὲν πρὸς σὲ κολακείας, ἐκ πάθȣς δὲ πρὸς ἐμὲ ἐπιζέοντος, σὲ ἐκίνησαν εἰς τοιαύτην ἀτοπίαν, ὥςε νὰ καταφρονήσῃς τὸν χαρακτῆρα σȣ, καὶ νὰ ἀνεδεχθῇς παρ' ἐπάγγελμα εἰς τὸ ὄνομά σȣ καὶ τὸν φθόνον αὐτῶν καὶ τὴν λύσσαν, καὶ ἐντεῦθεν νὰ ἐκδώσῃς βιβλίον αὐτόχρημα Μάςιγα εἰσαεὶ τῆς σῆς συνειδήσεως, καὶ ἀξίαν ἐξήγησιν τῆς πατρίȣ ἀνατροφῆς σȣ. τὴν ὁποίαν ἐκάλυπτε μέχρι τοῦδε τῆς ἡλικίας τὸ κάλυμμα. τότε λέγω θέλεις ἰδῇ τὰ ἀγάλματα πιθήκων παιδία, καὶ τὰ ὄρη τὰ ὑψηλὰ εἰς ἀμμώδη πεδία μεταβεβλημένα. τότε θέλεις ἀνακαλύψῃ τυμβωρυχίας καὶ λῃςείας, ȣ̉χὶ λέξεων παρενεσπαρμένων πέντε καὶ ἓξ ϗ ἑπτὰ, ἀλλὰ βίβλων ὁλοκλήρων σφετερισμὸν μετὰ τῆς ἐχάτης ἀναισχυντίας· τότε θέλεις ἰδῇ τοὺς δορυφόρȣς σου νὰ ἐρυθριῶσι ϗ νὰ καταισχύνωνται ἔμπροσθέν σου. τότε θέλεις πληροφορηθῇ καλὰ, ϗ σὺ καὶ αὐτοὶ, πόσον ἠχήσουσί μου αἱ λέξεις Ἑλ-

λησισὶ, τοῦτο δὴ τὸ παρὰ σοῦ πρὸς ἐμὲ χλευαζόμενον. τότε θέλεις καταλάβῃ, πῶς μετὰ τοῦ ἤχου ἐξηγήσουσιν ἐνεργῶς καὶ τὰ πράγματα. διὰ νὰ καταλάβῃς καὶ σὺ καὶ ἐκεῖνοι, εἰς ποῖον κίνδυνον πολλάκις ἐμβάλλουσι τοὺς δορυφορουμένους οἱ κολακευτικοὶ καὶ ἀνόητοι, καὶ ἐκεῖνοι νὰ καταισχύνωνται νάσοι προσφέρωσιν οὕτω πλούσιον τὸ λιβανωτὸν πρὸς θυσίαν, αἰσθανόμενοι εἰς τὰ ἴδια πρόσωπα ἐζωγραφισμένα, ὅσα ποτὲ ἐξήμεσαν κατ᾽ ἐμοῦ. τότε θέλουσιν αἰσθανθῇ τῆς δυπροσωπίας καὶ κολακείας καὶ τῆς ὠτακουςίας τοὺς πικροτάτους καρποὺς, οἱ νῦν ὡς ἐκ μέρους σου περιτρέχοντες, καὶ ἐξετάζοντες, καὶ νῦν μὲν φοβερίζοντες, νῦν δὲ συναγωνιςὰς εἰς ἄμυναν ἑαυτοὺς ὡς ἐν ςρατιωτικοῖς καταλόγοις συγκαταλέγοντες. ἐπειδὴ καὶ τοιαῦτα πρέπει νὰ εἶναι τῶν δειλῶν τὰ φρονήματα. ἀλλὰ τὸ δειλὸν τοῦτο, ἴσθι ὅτι οὐκ ἐκ φύσεως αὐτοῖς, ἀλλ᾽ ἐξ οἰκείων μάλιςα ἐλαττωμάτων ἐγγίνεται. ἀλλὰ τὰ τοιαῦτα ἄλλο τε θέλετε πληροφορηθῇ καὶ σὺ καὶ ἐκεῖνοι. νῦν δὲ παρασιωπῶ πρὸς τοσαύτην ἐξ ἀλόγου πάθους κινουμένην ἀναιχυντίαν, ὅτι ἄνθρωπος ὢν, καὶ εἰς ἀνθρώπου ἐλαττώματα ὑποκείμενος, δὲν ἀνέχομαι νὰ ἀναξέω ξένας πληγὰς, συνειδὼς ἐμαυτὸν ὑπὸ τῶν οἰκείων ἐν πολλοῖς ἐνοχλούμενον, καὶ προσέτι δέν μοι φαίνεται τίμιον νὰ ἐκτραγῳδῶ ἀνθρώπων κακὰ χωρὶς ἀνάγκης τινος, οἵτι-

νες ἢ οὕτως ἢ ἄλλως ὠφέλησαν τὸ κοινὸν ἐκ τῶν κόπων των, κἂν ἡ φιλοδοξία αὐτῶν ὑπερέβη τὰ μέτρα τῆς μετριότητος. μή τε θέλω νὰ ὑποπτευθῇ καὶ εἰς ἐμὲ ἐντεῦθεν φθόνου τινὸς ὑποψία. τὸν ὁποῖον ζωγραφίζει εἰς τὴν καρδίαν τῶν ἐμβροντήτων σου δορυφόρων ἐκ τῆς πολλῆς δημοκοπίας ἡ Μάστιξ τῆς σῆς συνειδήσεως. τὸ ὁποῖον βέβαια τότε θέλεις πιςεύσῃ, ὅταν γηράσῃ τὸ πάθος σου. θέλει δὲ γηράσῃ τὸ πάθος αὐτὸ, ὅταν τὸ ἄλογον παραχωρήσῃ τῷ λογικῷ τῶν πραγμάτων τὴν κρίσιν· τοῦτο δὲ τότε γενήσεται, ὅταν σὺ ἀφήσῃς τὴν ἰχυρογνωμίαν, καὶ γένῃς τῶν πραγμάτων φιλόσοφος ἀδιάφορος· τότε θέλεις ἰδῇ, ὅτι τὰ παρ᾽ ἐμοῦ γεγραμμένα ἐν τῷ προλόγῳ εἶναι ἀληθῆ ϗ ὀρθότατα, ὅταν ἀφήσῃς τὴν ἰχυρογνωμίαν, ϗ παρακολουθήσῃς τὴν γνωμην Ἐπικτήτου ἐκείνην. „Ἄμεινον τῇ ἀληθείᾳ συγχωρή„σαντα, τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρή„σαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι." τότε τῷ ὄντι θέλεις διακρίνῃ τὴν κολακείαν ἀπὸ τὴν εἰλικρίνειαν, τὸ πάθος ἀπὸ τὸν λόγον, τὴν ἀπάτην ἀπὸ τὴν ἁπλότητα, τὸ ψεῦδος ἀπὸ τὴν ἀλήθειαν, τὴν βλάβην ἀπὸ τὴν ὠφέλειαν. τῆς ὁποίας βέβαια θέλεις ἀποδώσῃ πολὺ μέρος ϗ εἰς ἐμὲ πρὸς τὸ γένος μου. ὅστις κατέχυσα τοσούτους ἱδρῶτας διὰ νὰ ἐξεμέσῃς καὶ σὺ καὶ οἱ σοὶ δορυφόροι, ὅσα καταξερῶσιν ἐν τοῖς καπηλείοις οἱ

μέθυσοι, ὅταν ὑπὸ τȣ̃ οἴνου ὑποφλεγόμενοι ἐκχέȣσι πρὸς ἀλλήλȣς τὰς ὕβρεις καθάπερ τοὺς θανασίμȣς ἀφρȣ̀ς τὰ λυσσῶντα κυνάρια. ἀλλ᾽ ἀπόντα με καὶ τυπτέτωσαν. καθότι μωρὸν ȣ̈τε πεῖσαι, ȣ̈τε ῥῆξαι ἐςὶ δυνατὸν, λέγει ἡ παροιμία. ἐμοὶ δὲ ἀρκεῖ μόνον νὰ εἶναι ἀνώνυμοι.

Ὡς τόσον αἱ ϰ̀ νοȣ́μεναι ϰ̀ λεγόμεναι ἀνόητοι καὶ παράδοξοι λοιδορίαι σου δὲν ἀποτείνονται μόνον εἰς ἐμὲ τὸν τυμβωρύχον, καὶ τοῦτο ἴσως, τῶν λέξεων, τοιȣ́των εὐκαταφρονήτων πραγμάτων, κύριέ μου Ἀλέξανδρε, ἀλλ᾽ εἰς ἄλλȣς μάλιςα παλαιοὺς (περὶ δὲ τῶν ζώντων εἰς δεύτερον, εἰ τύχοι, ἀγῶνα·) τοὺς ὁποίȣς θαυμάζομεν μάλιςα· καὶ δὲν λέγω τοῦτο περὶ ἐκείνων· οἵτινες ἐκ φιλοτιμίας ἀκαίρου ὁ μὲν ἀνεγίνωσκεν ἐν Ὀλυμπίᾳ τὰ ἴδια, ὁ δὲ πρὸς τȣ̀ς Μεγαρεῖς τὰ ἀλλότρια, τȣ̀ς ὁποίȣς σὺ καὶ ἄλλος ὡς σὺ καθαρὸς τῆς φιλοδοξίας αὐτῆς τολμᾶτε νὰ λοιδορῆτε· τὸν μὲν ὡς ἀλαζόνα, τὸν δὲ ὡς τυμβωρύχον. ἀλλὰ δείξω σοι ἄνδρας καὶ ἀρετῇ ὑπερέχοντας, ϰ̀ παιδείᾳ διαφέροντας, καὶ ἁγιότητι διαλάμποντας· πρὸς οὓς οὐ μόνον ἐκ τȣ̃ εἰπεῖν τι τοιȣ̃τον φραγήσεταί σου τὸ ςόμα, ἀλλὰ καὶ νοῆσαι μικρὸν διαῤῥαγήσεται ἡ ψυχή σας. καὶ τοιȣ̃τοι σοι εὑρεθήσονται ἐν πολλοῖς οἱ θεοφόροι πατέρες τῆς ἐκκλησίας. οἵτινες εἰς τȣ̀ς ἠθικοὺς αὐτῶν λόγους δὲν ἔπαυσαν νὰ ὠφελῶσι τὸ ποίμνιόν των ϰ̀ ἐκ τῆς

ἐθνικῆς ἠθικῆς χωρὶς νὰ ἐπιμαρτυρῶσιν ἐν πολλοῖς τὰς ῥήσεις μήτε Σωκράτους, μήτε τοῦ Πλάτωνος, ὅπου ὁ ῥυθμὸς τοῦ λόγου καὶ ἡ χρεία τῆς ὠφελείας δὲν ἀπαιτοῦσεν. ἐπειδὴ δὲν ἔλαβον ὄρεξιν νὰ ἀναγνώσωσι ποτὲ τοὺς λόγους αὐτῶν μήτε ἐν Ὀλυμπίᾳ, μήτε ἐν τοῖς Μεγάροις, ἀλλὰ μόνον εἰς τῶν Χριστιανῶν τὰ περιωρισμένα ταμεῖα, πρὸς οὓς ἀπέβλεπεν ὁ ἐπωφελὴς αὐτῶν σκοπὸς ἐν τῷ τότε· μήτε ὑπώπτευον, ὅτι ἐν ἐσχάτοις καιροῖς γενήσονται τινὰ θρέμματα καὶ καθάρματα τυμβωρύχοι τῷ ὄντι τῆς ἀρετῆς αὐτῶν, ὥστε νὰ ὀνομάζωσιν αὐτοὺς λῃστὰς καὶ μορμόλυκας. οὕτως ὁ Μέγας Βασίλειος, ἀφίνω τοὺς ἄλλους, καὶ ἐν ἄλλοις πολλοῖς λόγοις αὐτοῦ, ἀλλὰ καὶ ἐν τῷ πρὸς τοὺς νέους παραινετικῷ ἀπήντλησε πάμπολλα ἐκ τῆς πηγῆς τῆς Πλατωνικῆς. οὕτως ὁ θεῖος Γρηγόριος καὶ ἄλλα πολλὰ πολλαχῆ, ἀλλὰ καὶ τὸν πρὸς τοὺς Μακαβαίους ὁλόκληρον ἴσως ἔχει ἐκ τῶν τοῦ Ἰωσήπου τοῦ Ἰουδαίου. ἀλλὰ καὶ αὐτὰ τὰ ῥητὰ τῆς θείας γραφῆς μεταπλάσας μὲ τὸ σχῆμα τῆς μεταλήψεως πολλαχῆ, τὰ οἰκειοποιήθη ἀνεπαισθήτως. ἀλλὰ σεῖς καὶ πατέρων ἐστὲ καθαρώτεροι· ὢ νὰ ἔχω τὴν εὐχὴν τῶν σῶν δορυφόρων! ἀλλ' ἰδέτωσάν που καὶ ἐν κεφαλίδι βιβλίου ῥῆσιν τὴν ἀλήθειαν ταύτην ἐμπεριέχουσαν „βιβλίον συγγράφειν ἐστὶ κλέπτειν τὰ τῶν ἄλλων". μᾶλλον δὲ εἰπεῖν ἰδέτωσαν τὰ ἑαυ-

τῶν καὶ μαρτυρήτωσαν εὐσυνειδότως τὸ ἐνδόμυχον τῆς καρδίας των. τί δὲ λέγεις περὶ τῦ Εὐγενίυ; ὁποῖα καὶ πόσα εἰς τὴν λογικήν του ἐπεμαρτύρησε, καὶ μάλιστα οὐχὶ λέξεις, ἀλλὰ δόγματα περιέχουσαν; σιώπα νήπιον. κ) ἰδὲ σοι δίδω αἰτίαν αὖθις δευτέρας κακηγορίας. σὺ ὅμως ἀνάγνωθι τὰ εἰρημένα ἀνωτέρω μικρὸν ἀπαθέστερον, καὶ ἐκεῖ εὑρήσεις τὴν γνώμην μου. καὶ ἐμὲ Πατρικῶς προετοιμασμένον εἰς τὸν Θουκυδίδην. εἰς δὲ τὰς μετὰ τοῦτον ἐκδόσεις μου καὶ πρὸς ἀρέσκειαν φιλοτιμιθέντα. ἀλλ᾽ οὐχὶ μόνον φυλάξαντα τὴν πρὸς τὲς νέους ὑπόσχεσιν· τὲς ὁποίες ἐγὼ τό γε ἐμοὶ δυνατὸν καὶ ὠφέλησα, καὶ ὠφελήσω, ἐὰν ἡ χρηστότης τῦ τρόπου σου, κ) ἡ σοφία τῶν δορυφόρων σου δὲν μὲ ἀπασχολήσωσιν εἰς ἑτέρας ἀπολογίας τραγικωτέρας.

Ὅτι δὲ ὠφέλησα οὐδὲ σὺ, οὐδὲ οἱ σὲ κολακεύοντες δύνασθε νὰ ἀπαρνηθῆτε, ἐὰν οὐ διεφθάρη ἡ κρίσις αὐτῶν ἐκ τῦ φθόνυ παντάπασιν. ἐπειδὴ πρώτη μυ ἡ Ἀληθεσιθέα ἅμα ἐκδοθεῖσα ἰάτρευσε πολλῶν τὸ ἄλγος τῆς θέας, κ) ἐθεράπευσεν ἐν πολλοῖς σχολείοις τὴν παλαιὰν καχεξίαν. καὶ ἐξομαλίσασα τὲς ἑλιγμοὺς καὶ τὰ δύσβατα, συνέτεμε τὸν χρόνον τῶν γραμματικῶν εἰς τὲς νέυς. ὥστε ἡ μεταβολὴ αὕτη, ἐὰν δὲν ἀπατῶμαι ἐκ φιλαυτίας, δικαίως ἤθελε λάβη βαθμὸν τινὰ, κἂν τὸν ἔσχατον τῆς προόδου

τῦ γένους· καὶ ἰδοὺ ἡ ἐκ τῆς χλαμίδος ἀλαζονία, σὺ δὲ λάμβανε ὕλην δευτέρας κακηγορίας. Δεύτερον δὲ ἐτυπώθη τὸ Γαλλικὸν Λεξικόν· τὸ ὁποῖον μὲ ὅλην του τὴν ἀτέλειαν, ἐφάνη ὠφελιμώτατον εἰς αὐτὸν τὸν καιρὸν ἐν ἐλλείψει ἑτέρου βαλτίονος. Ἐκ δὲ τῦτου ἐξεδόθη ὁ Θουκυδίδης· τὸν ὁποῖον διὰ νὰ καταφέρω εἰς ταύτην τὴν ἔκβασιν, δὲν ἔλαβον κατὰ νοῦν τὰς ἀπορίας τῶν φιλολόγων τῆς Εὐρώπης, πρὸς οὓς ἀποβλέπει ἀεὶ τὸ σὸν τριβώνιον: ἀλλὰ τὰς δυσκολίας τῶν ἐν τοῖς σχολείοις φιλτάτων μοι μαθητῶν, πρὸς οὓς ἡ ἐμὴ χλαμὶς ἀποτείνεται. διὰ τοῦτο ἀνεδεξάμην πρῶτον μὲν τὸν ἀγῶνα τῆς μεταφράσεως (τὸ ὁποῖον καὶ δυσκολώτατα κατωρθῦτο διὰ τὸ πεπιεσμένον ὕφος τῦ λόγου. καὶ διὰ νὰ πληροφορηθῇς μετάφρασον μίαν δημηγορίαν, ϗ μάλιστα εἰς τὸ παράλυτον ὕφος σῦ, καὶ τότε ὄψει πόσον παραλαλεῖς·) καὶ διὰ τὴν γλῶσσαν αὐτὴν, περὶ ἧς ὁ λόγος πολλὰ ἤδη ἔτη ἀντηχεῖ μεταξὺ τῶν πεπαιδευμένων, καὶ διὰ νὰ ἔχωσι καὶ ἐντεῦθεν βοήθειαν οἱ τὸν συγγραφέα σπουδάζοντες, ϗ ἐκ τῶν ἄλλων, ὅσοι μόνην τὴν ἱστορίαν θηρεύῦσι. (ϗ ἔχε, φίλε, τῦτο ὡς βέβαιον, ϗ ἐξ αὐτοψίας μεμαρτυρημένον, ὅτι ϗ γυναῖκες ἀνέγνωσαν τὸν καὶ εἰς τῦς διδασκάλῦς πρότερον ἄψαυστον Θῦκυδίδην.) ἐπειδὴ ὅμως τῦτο μόνον δὲν ἐφαίνετο ἱκανὸν νὰ λύσῃ ϗ τὰς γραμματικὰς ἀ-

πορίας τῶν νέων, ἐπεχειρίσθην νὰ τὸν σχολιάσω κατὰ πᾶσαν περίοδον δυσκατάληπτον οὐχὶ εἰς τὲς φιλολόγες ϗ πεπαιδευμένες, ἀλλ᾽ εἰς τοὺς ἀτελεῖς καὶ ἤδη παιδευομένους κατὰ τὴν ἐξ ἀρχῆς μοι ὑπόχεσιν καὶ προαίρεσιν. μετὰ ταῦτα δὲ ἠγωνίσθην νὰ σαφηνίσω τινὰς δυσκολίας ϗ διὰ τῆς χαλκογραφίας εἰς τόπων περιγραφὰς, ϗ πράξεις πολεμικὰς, καὶ πολιορκίας, καὶ τειχομαχίας, ϗ εἴτι ἕτερον φέρει εἰς σαφήνειαν τινὰ τε κειμένε. πάντα ταῦτα κατά γε τὸ ἐμοὶ δυνατὸν κατωρθώθησαν ἄριστα, κᾂν εἰς τῆς Εὐρώπης τὲς φιλολόγους ἴσως κρίνωνται περιττὰ, ὡς ἄλλοθεν ταῦτα ποριζομένους· εἰς δὲ τὲς ἡμετέρες ὅμως καὶ διδάσκοντας καὶ διδασκομένους εἶναι ἀναγκαιότατα· καὶ διὰ τοῦτο οἱ μὴ ἐπιθυμεντες τὸ ἴδιον ὡς ἐν Ὀλυμπίᾳ, οὕτως ὀφείλουσι νὰ ἐκδίδωσι τὰ βιβλία. τέταρτον δὲ πρὸς τούτοις, ϗ ὅσον ἀνήκει εἰς γεωγραφίαν ϗ εἰς τελειότητα τε βιβλίε, καὶ τοῦτο προσέθηκα, Πίνακα ἐκπονήσας ϗ Λεξικὸν εἰς τετον συλλέξας κατάλληλον· πέμπτον δὲ μετέφρασα ἐκ τε Γαλλικε τῶν ἐνδόξων τοὺς βίους, ἀναγκαῖον καὶ τετο εἰς τὲς νῦν Ἕλληνας διὰ τὴν ἔλλειψιν τε γενικωτέρου. ἕκτον δὲ προσέθηκα τὸ Λεξικὸν καὶ τῶν φράσεων, ὡς ἀναγκαῖον εἰς τὲς θεματογραφεντας νέες, ὅσοι ἔχεσι καλὴν ὁδηγίαν εἰς τετο παρὰ τῶν διδασκάλων, ἀλλὰ καὶ εἰς τὲς φιλολόγες αὐτὲς ἔτι χωρὶς πα-

